Digitized by the Internet Archive
in 2022 with funding from
Kahle/Austin Foundation

https://archive.org/details/unknown0000unse_s3p6

Shelf 7 - Study

ΔΩΡΟΘΕΟΣ ΣΧΟΛΑΡΙΟΣ

Μητροπολίτης πρώην Λαρίσσης.

ΚΛΕΙΣ

ΠΑΤΡΟΛΟΓΙΑΣ ΚΑΙ ΒΥΖΑΝΤΙΝΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΗΤΟΙ

ΕΥΡΕΤΗΡΙΟΝ ΠΑΝΤΩΝ ΤΩΝ ΣΥΓΓΡΑΜΜΑΤΩΝ ΤΩΝ ΘΕΙΩΝ ΗΜΩΝ ΠΑΤΕΡΩΝ, ΔΙΔΑΣΚΑΛΩΝ ΚΑΙ ΣΥΓΓΡΑΦΕΩΝ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ ΕΝ ΤΗ ΕΝ ΠΑΡΙΣΙΟΙΣ ΕΚΔΟΘΕΙΣΗ ΠΑΤΡΟΛΟΓΙΑ ΕΙΣ ΤΟΜΟΥΣ ΕΚΑΤΟΝ ΕΞΗΚΟΝΤΑ ΚΑΙ ΕΝΑ (1857--1866)

ΥΠΟ

ΜΙΓΝΙΟΥ (MIGNE)

Ἐν ᾗ προσετέθησαν καὶ τὰ συγγράμματα ἑπτὰ

ΒΥΖΑΝΤΙΝΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΕΚ ΤΗΣ ΕΝ ΒΟΝΝΗ ΕΚΔΟΣΕΩΣ, ΑΥΤΩΝ ΜΟΝΟΝ ΜΗ ΣΥΜΠΕΡΙΛΑΜΒΑΝΟΜΕΝΩΝ ΕΝ ΤΗ ΤΟΥ ΜΙΓΝΙΟΥ ΕΚΔΟΣΕΙ

ΥΠΟ

ΔΩΡΟΘΕΟΥ ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ

(Πρώην μητροπολίτου Λαρίσσης, τοῦ Θεσσαλοῦ).

ΗΔΗ ΠΡΩΤΟΝ ΤΥΠΟΙΣ ΕΚΔΟΘΕΙΣΑ ΑΞΙΩΣΕΙ ΠΟΛΛΩΝ ΣΟΦΩΝ ΚΑΙ ΕΛΛΟΓΙΜΩΝ ΑΝΔΡΩΝ

ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΓΕΩΡΓΙΟΥ ΚΑΡΥΟΦΥΛΛΗ

ΟΔΟΣ ΝΙΚΙΟΥ ΑΡΙΘΜΟΣ 3

1879

«Ἔτι οὖν ζητήσομεν πόθεν ῥαθυμία τοσαύτη καὶ εὐλαβείας ὑπεροψία γέγονεν, ὅταν οὕτως ὦμεν ἀπεχθῶς πρὸς τοὺς Πατέρας διακείμενοι τοὺς ἡμετέρους; Οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδέν, ὃ καταλῦσαι καὶ διαφθεῖραι Ἐκκλησίαν δύναιτ' ἄν, ἀλλ' ἢ ὅταν μαθηταὶ τοῖς διδασκάλοις, τοῖς πατράσιν οἱ παῖδες καὶ τοῖς ἄρχουσιν οἱ ἀρχόμενοι μὴ μετὰ πολλῆς ὦσι συνδεδεμένοι τῆς ἀκριβείας.» (Ἰωάν. Χρυσ. τόμ. Πατρ. 51 σελ. 203)

«Οὐ πάνυ δὲ ῥᾴδιόν ἐστιν εὑρεῖν ἔργον, ἐφ' ᾧ οὐκ ἄν τις αἰτίαν ἔχοι· χαλεπὸν γὰρ οὕτω τι ποιῆσαι, ὥστε μηδὲν ἁμαρτεῖν· χαλεπὸν δὲ καὶ ἀναμαρτήτως τι ποιήσαντας μὴ ἀγνώμονι κριτῇ περιτυχεῖν.»

(Ξενοφ. Ἀπομνημ. Β'. η'. 5.)

ΤΗΙ

ΜΙΑΙ ΑΓΙΑΙ ΚΑΘΟΛΙΚΗΙ ΚΑΙ

ΑΠΟΣΤΟΛΙΚΗΙ ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ

ΕΚΚΛΗΣΙΑΙ

ΤΑ ΣΑ ΕΚ ΤΩΝ ΣΩΝ

ΣΟΙ ΠΡΟΣΗΝΕΓΚΕ ΚΑΙ ΑΝΕΘΗΚΕΝ

Ο ΕΛΑΧΙΣΤΟΣ ΕΝ ΥΠΗΡΕΤΑΙΣ ΤΟΥ ΠΝΕΥΜΑΤΟΣ

ΗΡΩΕΛΕΓΕΙΑ

ΕΙΣ ΤΟΝ ΣΥΓΓΡΑΦΕΑ

Τυτθὸν Θεσσαλίης πτολίεθρον, ἀτὰρ μέγαν ἄνδρα
Δῶκεν, Βενδίστη, Δωρόθεον Σχολάριον,
Ἱράρχην Λαρίσης, ὃς ἐῇ αἴῃ γ' ἐφύτευσε,
Δόξαν, πολλ' ἔρξας ἔργα ἀγαστὰ μάλα.
Μούσας γὰρ περὶ κῆρι φιλήσας δείματο αὐταῖς
Πέντε δόμους· Τρικάλοις μὲν δύο Θεσσαλίης·
Βώλῳ δὲ τρίτατον· Βενδίστῃ δ' αὖ τε τέταρτον·
Σωζοπόλει πέμπτον· τῶν δε τέταρσι πόρεν
Χρήματα τηρεῖσθαι ἐς ἀεὶ, δώσει τε ἅπαντα
Τονδ' αἰῶνα λιπὼν, ὅσσα γὲ λείπεται οἱ.
Ἠθέους ἀπόρους δ' αἰὲν μεγάθυμος ἀρήγει.
Τοῖος ἔρως Μουσῶν καμ μιν ἕλεν καὶ ἔχει!
Ὀθφαλμοὺς δὲ φύτευσεν ἑοῦ νοὸς, ἠύτε ῥίζας,
Βίβλοις ἐν Πατέρων, καρπὸν ἔδειξέ τε νῦν
Ἡδέα, τήνδε Βίβλον, Πατέρων τε καλέσσατο Κλεῖδα.
Τίς δ' ἄρ' οἱ ἱραρχῶν ἄλλος ἐρίσσειεν ἂν,
Τοὶ νῦν ναίουσι χθόν' ἄπειρον ἰδ' ἄρτον ἔδουσι;
Οὔτις φημ' ἄλλος, τῶν ἐγὼ οἶδα μαθών.

ΕΙΣ ΤΟ ΣΥΓΓΡΑΜΜΑ

Ἰδμοσύνης θείης Πατέρων, ὅστις κ' ἐθελήσῃ
Θησαυροὺς ἰδέειν, χερσὶ μ' ἑῇς λαβέτω·
Κλεὶς γὰρ ἐοῦσα, πύλας ταμείων οἴξω, ὅθι κεῖνται
Πολλοὶ, ἀπειρίσιοι, τίμιοι, ἠδὲ θεῖοι.

ΕΤΕΡΟΝ

Κλεὶς Πατέρων τελέθω· ἱεράρχης Δωρόθεός με
Τεῦξεν, ὃς ὢν σοφίης βένθεα παντ' ἐδάη.
Οἴγειν δ' ἔργον μοι σοφίης αὐτῶν τὰ ταμεῖα,
Δεικνῦναι πλοῦτον θ', ὅσσον ἀπειρίσιος.

Ταῦτα εὐγνωμοσύνης ἕνεκα ὁ Νικόλαος Σπυρίδωνος
ἐκ Δαρδανελλίων φοιτητὴς τῆς ἰατρικῆς.

Ο ΣΥΓΓΡΑΦΕΥΣ ΠΡΟΣ ΤΟ ΣΥΓΓΡΑΜΜΑ

Βίβλος, τέκνον ἐμὸν, σεῖο 'γὼ πέρι πολλ' ἐμόγησα.
Καὶ γὰρ ἔτεσσί γε μὴν δυσσὶ Θεοῦ μεγάλου
Ἥμενος ἥματα πανθ' ὥρας κλέπτων τέ τοι ὕπνου
Σὲ γράφον, ὕστερον αὖ χρήμασ' ἐμοῖς τυπόων,
Πολλά γέ τοι δαπάνησα, ἁμαρτιάων δὲ καθαίρων,
Τάς γε τυπογραφικοὶ ἄνδρες ἔερδον, ὅ γε
Δεινὸς ἔην γε πόνος, μέγα μόχθησ' ἦρά γέ τίς σε
Τοῦ γέ περ οὕνεκα 'γὼ τεῦξά σε, ἠδὲ κάμον,
Γηθήσει σὲ ἰδὼν, ἢ οὐδὲ λαβεῖν ἐθελήσει,
Οὐδὲ μεταλλήσει, τίς ρά σε τεῦξεν ἀνὴρ

ΚΛΕΙΣ ΠΑΤΡΟΛΟΓΙΑΣ

ΠΡΟΛΕΓΟΜΕΝΑ

Α.

Ὅτι ἀπαραίτητον παντὶ Χριστιανῷ ἡ ἀνάγνωσις τῶν θείων Γραφῶν.

Θεὸς ἡμῖν ἔστω παντὸς ἔργου καὶ λόγου προοίμιον· ἀρχὴ γὰρ αὕτη πασῶν ἀσφαλεστάτη· καὶ οἱ ταύτης ἐχόμενοι πρὸς λιμένα καταντῶσιν ἀναπαύσεως. Ἐκ Θεοῦ οὖν καὶ ἡμεῖς καὶ περὶ τῶν θείων πραγμάτων ἀρξώμεθα, καὶ εἰς αὐτὸν τὸν λόγον καταπαύσωμεν.

Θεῖον ἀληθῶς καὶ ἱερὸν χρῆμα ὁ λόγος Θεοῦ, κτῆμα ἐξαίρετον, οὐκ ἄλλοθεν προσγινόμενον, κατὰ τὸν Γρηγόριον Νύσσης, ἀλλὰ συγκεκραμένον τῇ φύσει, ἀνθρώπῳ δῶρον τιμιώτατον παρὰ τοῦ δημιουργήσαντος εἰς αὐτὸν ἐλθόν. Διὸ καὶ καθ' ὁμοίωσιν Θεοῦ γεγενῆσθαι λέγεται. Τούτῳ γοῦν ἔχει καὶ πρὸς τὰ ἄλλα ζῶα τὴν διαφοράν, καὶ τῷ θεοειδεῖ πλεονεκτήματι ἰδιαζόντως χαρακτηρίζεται, σφόδρα τοῖς ἄλλοις πολλὴν ἔχων τὴν κοινωνίαν πρὸς τὰ βοσκήματα. (α)

Ὁμολογούμενον δέ ἐστιν, ὅτι παντὶ τῷ εἰς Χριστὸν πιστεύοντι αἱ θεῖαι Γραφαὶ λόγοι εἰσὶ τοῦ Θεοῦ διὰ τῆς χάριτος καὶ δωρεᾶς τοῦ παναγίου αὐτοῦ Πνεύματος χορηγηθέντες. Ὅθεν ἡ ἀνάγνωσις τῶν θείων Γραφῶν τῶν ἀπαραιτήτων ἐστὶ καθηκόντων τοῦ Χριστιανοῦ, ἐξ ὧν μεγίστη ἡ πνευματικὴ καὶ ἡ ἠθικὴ καρποφορία τοῖς βουλομένοις ὑγιαίνειν ἐν τῇ πίστει, καὶ μὴ προσέχειν ἐντολαῖς ἀνθρώπων τὴν ἀλήθειαν ἀποστρεφομένων. (β) Διὰ τῆς εὐσεβοῦς ἀναγνώσεως τῶν θείων Γραφῶν ἀλανθάστως ἕκαστος ἐπιτυγχάνει παντὸς ἀγαθοῦ, οὗ εὔχεται καὶ ποθεῖ· ἀναλάμπει γὰρ δι' αὐτῶν ἐν πᾶσιν ἡ διδασκαλία τοῦ Σωτῆρος ἡμῶν καὶ Θεοῦ Ἰησοῦ Χριστοῦ, «Δι' ἧς ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος ἐπεφάνη πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων» (γ).

«Τέκνον Τίτε, λέγει ὁ ἀπόστολος Παῦλος, πιστὸς ὁ λόγος· καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ Θεῷ· ταῦτά ἐστι τὰ καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις» (δ). Καὶ πάλιν, «Πᾶσα Γραφὴ θεόπνευστος, καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ» (ε).

(α) Γρ. Νύσ. Τομ. ΜΣ'. 308. (β) Τίτ. α'. 14. (γ) Τίτ. β'. 11—15. (δ) Τίτ. γ'. 8. (ε) Β'. Τιμ. γ'. 16.

«Ὅρα, λέγει καὶ ὁ θεῖος Χρυσόστομος, πόσον κέρδος ἐστὶ τοῦ ἐρευνᾷν τὰς θείας Γραφάς, καθὼς πολλάκις ἠκούσατε. Τί δέ ἐστιν, ὃ λέγομεν; Ὅτι οὐδὲν ἔλιπεν, οὐδὲ παρεσιώπησε τῶν συμφερόντων ἡμῖν ἡ θεία Γραφή, ἀλλὰ πανταχοῦ κράζει, διά τε προφητῶν καὶ ἀποστόλων, προαναφωνοῦσα καὶ προασφαλιζομένη ἕκαστον, ὡς μήτηρ φιλότεκνος τὰ ἴδια τέκνα φιλοῦσα, προσμαρτυρεῖται· καὶ ὑπομιμνήσκει περὶ τῶν παρῳχηκότων, καὶ περὶ τῶν ἐνεστώτων, καὶ περὶ τῶν μελλόντων, μηδὲν παριδοῦσα τῶν ἡμῖν συμφερόντων· καὶ τοῦτο οὐκ ἐν κρυπτῷ λαλοῦσα, οὐδὲ μικροφωνοῦσα, ἀλλὰ πανταχοῦ πόνῳ καὶ δυνάμει κράζουσα διά τε νόμου, καὶ προφητῶν, καὶ ἀποστόλων, καὶ αὐτοῦ τοῦ Δεσπότου». (α)

Διὰ ταῦτα οὖν ἡ ἀνάγνωσις καὶ μελέτη τῶν θείων Γραφῶν τῶν ἀπαραιτήτων ἐστὶ καθηκόντων τοῦ Χριστιανοῦ· ἰδίᾳ δὲ τοῦ Ἕλληνος, ὡς κληρονομία κατ᾽ ἐξοχὴν προγονική. Καὶ ὅπως τις μὴ καλῆται μόνον, ἀλλὰ καὶ ἀληθῶς ᾖ Χριστιανός, ὀφείλει μὴ ἀμελεῖν τῶν ἐκ τῆς θείας Γραφῆς ἀφθόνως χορηγουμένων σωτηρίων φαρμάκων, ἀλλ᾽ ἐνδιατρίβειν περὶ αὐτὴν συνεχῶς καὶ μετὰ σπουδῆς μεγάλης. Καλὸν δὲ καὶ πάνυ ὠφέλιμον τὸ ἐνασχολεῖσθαι καὶ λόγοις πνευματικοῖς, καὶ διανοίᾳ καὶ γλώττῃ τούτοις ἐντρυφᾷν, καὶ τῷ νόμῳ Κυρίου διὰ παντὸς ἐμμελετᾷν. Ἐκ τριῶν δὲ καλῶν κἀγαθῶν, κατὰ τὴν διδασκαλίαν τῶν θείων ἡμῶν Πατέρων, ὅλως κερδανοῦμεν, εἰ μὴ καὶ τὰ τρία, πάντως γε τὸ ἕν· ἢ ἐκ Θεοῦ λαμβάνομεν τῶν πόνων ἔπαθλον, τὴν τῶν κεκρυμμένων δηλονότι ἀποκάλυψιν· ἢ τοῦτο τὸ λυσιτελὲς, ὅπως κεντριζώμεθα πρὸς ἀρετὴν θείοις προστάγμασιν, ἢ κατὰ τρίτον λόγον ἀπαγόμεθα τῶν γηΐνων τῇ περὶ τὰ πνευματικὰ μερίμνῃ καὶ σχολῇ.

Αἱ ἅγιαι Γραφαί εἰσι τροφὴ τῆς ψυχῆς, καὶ ὥσπερ ὁ τῆς σωματικῆς ἀμελῶν τροφῆς χαυνοῖ καὶ παραλύει τὸ σῶμα, οὕτω καὶ ὁ τῆς τῶν ἁγίων Γραφῶν μελέτης ὀλιγωρῶν ἐξασθενεῖ τὴν ψυχὴν, παραλύει τε τὰς δυνάμεις αὐτῆς, νεκροῖ δὲ τὴν γνῶσιν, καὶ καταστρέφει τὴν πίστιν· ταύτης δὲ καταστρεφομένης, τὸ τοῦ Χριστιανοῦ ὄνομα κενὸν καὶ ἐπίπλαστον γίγνεται, μηδεμίαν ἔχον ἔννοιαν ἢ πραγματικότητα· «Πῶς πιστεύσουσιν, ἐὰν μὴ ἀκούσωσι;» Καὶ πάλιν, «Ὥστε ἡ πίστις δι᾽ ἀκοῆς· ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ.» (β) Ἐὰν τοίνυν ἡ ἀκοὴ μὴ προϋπάρξῃ, ἐὰν ἡ γνῶσις μὴ προηγηθῇ, πῶς ἀκολουθήσῃ ἡ πίστις; «Ἀμελήσω Γραφῶν, λέγει ὁ μέγας Ἀθανάσιος, πόθεν οὖν ἡ γνῶσις; Καταλείψω

(α) Χρυσ. Τόμ. ΝΘ'. 534. (β) Ῥωμ. Ι'. 14—17.

γνῶσιν; πόθεν ἡ πίστις; Ὁ τοίνυν τὸ ῥῆμα κωλύων, τὴν ἀκοὴν ἐμφράττει, τὴν πίστιν ἐκβάλλει. Καὶ νόμους μὲν Ῥωμαίων ἀγνοεῖν ἀκίνδυνον οὐδενί· τὰ δὲ μέγιστα θεσπίσματα τοῦ βασιλέως τῶν οὐρανῶν οἱ κωλύοντες μελετᾷν καὶ μανθάνειν ποίαν ἐπιβουλὴν οὐκ ἐργάζονται; Τροφὴ ψυχῆς ἡ Γραφή. Παῦσαι οὖν λιμοκτονῶν τὸν ἔσω ἄνθρωπον, ἄνθρωπε, καὶ λιμὸν ἄγριον ἐπισπασάμενος οὐκ ἄρτου καὶ ὕδατος, ἀλλὰ τοῦ ἀκοῦσαι λόγον Κυρίου.» (α) Καὶ τοῦ μὲν σώματος σὺν πολλῇ τινι σπουδῇ καὶ συντόνῳ προθυμίᾳ φροντίζομεν καὶ ἐπιμελούμεθα, σκοποῦντες μὴ τῶν ὀχληρῶν τι ἐγγένηται αὐτῷ, μὴ κακῶς περιβληθῇ, μὴ ἡδείας στερηθῇ τροφῆς, μή τις νόσος βλάψῃ αὐτό· καὶ μόχθους δ' ἀτρύτους, καὶ δαπάνας μυρίας καταβάλλομεν διὰ τὸ φθαρτὸν τοῦτο καὶ καταῤῥέον περίβλημα· τῆς δὲ τροφῆς τῆς ἀθανάτου, τῆς αἰωνίου ψυχῆς οὐδὲ κἂν λόγον ἀξιοῦμεν ποιεῖσθαι, εἰ καὶ αὕτη οὔτε δαπανᾷν ζητεῖ, οὔτε πόνους ἀπαιτεῖ, οὐδὲ δυσχερείας προβάλλει. Ἀδικαιολόγητος οὖν καὶ ἀσύγγνωστος ἡ τῆς μελέτης τῶν θείων Γραφῶν ἀμέλεια.

Μόνη τοίνυν ἡ μελέτη τῶν θείων Γραφῶν χειραγωγουμένη ὑπὸ τῶν ἱερῶν Πατέρων καὶ Διδασκάλων τρέφει τὴν ψυχὴν, ἐνισχύει αὐτὴν, φωτίζει τὸν νοῦν, ἀναπτεροῖ τὴν διάνοιαν, ἀναφέρουσα αὐτὴν μέχρι τῶν βαθμίδων τοῦ Αἰωνίου, καὶ εὑρίσκει, ὃν ἔγραψεν ὁ Μωϋσῆς καὶ οἱ προφῆται, καὶ οἱ θεῖοι ἀπόστολοι ἐκήρυξαν. «Ἐκ τῶν θείων Γραφῶν, λέγει ὁ μέγας Ἀθανάσιος, ἡ τῶν ἀδήλων φανέρωσις, ἡ τῶν ἐλπίδων βεβαίωσις, ἡ τῶν ὑποσχέσεων ἔκβασις, ἡ τοῦ Σωτῆρος εὕρεσις.» Ὁ μὴ ἐρευνῶν τὰς Γραφὰς οὐχ εὑρίσκει ζωὴν αἰώνιον, καταλείπει τὴν ψυχὴν αὐτοῦ ἔρμαιον τῶν λογισμῶν, καταδακνωμένην καὶ συρομένην ὑπὸ τούτων, ὥσπερ ὑπὸ κυνῶν, ἔνθεν κἀκεῖθεν· διέρχεται τὸν τρομερὸν κλύδωνα τοῦ βίου, ἄνευ πηδαλίου· περιπατεῖ ἐν τῷ σκότει, καὶ οὐκ οἶδε ποῦ ὑπάγει.

Ἐκ τούτων ἁπάντων κατάδηλον γίνεται πόσον ἀναγκαία καὶ ὠφέλιμός ἐστιν ἡ τῶν θείων Γραφῶν ἀνάγνωσις· διότι αὗται μόναι εἰσὶν ὁδηγὸς τοῦ βίου ἀλάνθαστος καὶ ψυχῆς ἰατρεῖον· καὶ τοῖς ἑστῶσι καὶ τοῖς πεσοῦσι καὶ πᾶσιν ἁπλῶς ὠφέλιμοί εἰσιν ἑκάστῳ χρησμῳδοῦσαι. Ὅθεν λέγει καὶ ὁ θεῖος Χρυσόστομος· «Καὶ γὰρ εἰδὼς ὁ φιλάνθρωπος ἡμῶν Δεσπότης τὸ ἀσθενὲς ἡμῶν τῆς προαιρέσεως, καὶ τὸ εὐόλισθον, μεγάλα φάρμακα ἡμῖν κατέλιπε τὴν ἐκ τῶν Γραφῶν ἀνάγνωσιν, ἵνα ταῦτα ἐπιθέντες ἑαυτοῖς συνεχῶς, καὶ τοὺς βίους ἀναλογιζόμενοι τῶν θαυμαστῶν ἐκείνων καὶ μεγάλων ἀνδρῶν, εἰς ζῆλον ἐναγώμεθα, καὶ μὴ ἀμελῶμεν τῆς ἀρετῆς, ἀλλὰ φεύγωμεν κακίαν, καὶ πάντα ποιῶμεν, ὥστε μὴ ἀναξίους ἑαυτοὺς καταστῆσαι τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν». (β)

Πλοῦτον ἀνεξάντλητον πνευματικῆς ὠφελείας καὶ βάθος νοημάτων ἄφατον ἀρυόμεθα ἐκ τῆς μελέτης αὐτῶν· «Καὶ γὰρ θησαυρῷ τινι προσέοικεν ἡ τῶν θείων Γραφῶν ἀνάγνωσις· καθάπερ γὰρ ἐκεῖθέν τις κἂν μικρὸν ψῆγμα λαβεῖν δυνηθείη, πολὺν ἑαυτῷ τὸν πλοῦτον ἐργάζεται· οὕτω καὶ ἐπὶ τῆς θείας Γραφῆς, καὶ ἐν βραχείᾳ λέξει πολλὴν ἔστιν εὑρεῖν τῶν νοημάτων τὴν δύναμιν, καὶ ἄφατον τὸν πλοῦτον. Καὶ οὐ θησαυρὸν μόνον, ἀλλὰ καὶ πηγὴν μιμεῖται τὰ θεῖα λόγια, δαψιλῆ τὰ νάματα ἀναβλύζουσαν, καὶ πολλὴν ἔχουσαν τὴν ἐπιῤῥοήν. Πολλὴ γάρ ἐστι τοῦ θησαυροῦ ἡ περιουσία καὶ τῶν νημάτων τῆς πηγῆς ταύτης ἡ δαψίλεια (γ). Θησαυρός ἐστι πολὺς ἐναποκείμενος ταῖς Γραφαῖς, καὶ ἐν τῷ βάθει κρυπτόμενος· διὰ τοῦτο ἐρεύνης χρεία, ἵνα τὴν δύναμιν τὴν ἐν τῷ βάθει κρυπτομένην καταμαθόντες πολλὴν ἐκεῖθεν τὴν ὠφέλειαν εὑρεῖν δυνηθῶμεν (δ). Γραφῶν θείων πέπλος ἐστὶ χρυσός· ὁ στήμων χρυσός· ἡ κρόκη χρυσός (ε).

(α) Ἀθαν. Τόμ. ΚΗ'. 1344. (β) Χρυσ. Τόμ. ΝΓ'. 104. (γ) ΝΓ'. 31. (δ) ΝΔ'. 414. (ε) ΝΓ'. 136.

Β.

Διὰ τί ἀσαφεῖς αἱ θεῖαι Γραφαὶ καὶ οὐ τοῖς πᾶσι καταληπταί.

Ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ περιεχούσῃ ἐπιστήμην θείων καὶ ἀνθρωπίνων πραγμάτων, καὶ τῶν τούτων αἰτιῶν, εἰσὶ θησαυροὶ, ὁποίους δεῖ εἶναι τοὺς τῆς σοφίας θησαυροὺς καὶ τῆς γνώσεως· καί εἰσιν οὗτοι ἀπόκρυφοι· καὶ εἴ τίς ἐστιν ἀξιωθεὶς εἰδέναι τὰ ἄῤῥητα ῥήματα, ἃ οὐκ ἔξεστιν ἀνθρώπῳ λαλῆσαι, εἰδείη ἂν τὴν ἐν μυστηρίῳ σοφίαν τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν τῶν δικαίων (α).

«Εἰ δὲ τὰ λόγια Κυρίου λόγια ἁγνὰ, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως (β), καὶ μετὰ πάσης ἀκριβείας ἐξητασμένως τὸ ἅγιον Πνεῦμα ὑποβέβληκεν αὐτὰ διὰ τῶν ὑπηρετῶν τοῦ Λόγου, μήποτε καὶ ἡμᾶς διαφεύγῃ ἡ ἀναλογία, καθ' ἣν ἐπὶ πᾶσαν ἔφθασε Γραφὴν ἡ σοφία τοῦ Θεοῦ θεόπνευστον μέχρι τοῦ τυχόντος γράμματος· καὶ τάχα διὰ τοῦτο ὁ Σωτὴρ ἔφη· «Ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται» (γ). «Χρὴ μέντοι γε τὸν ἅπαξ παραδεξάμενον τοῦ κτίσαντος τὸν κόσμον εἶναι ταύτας τὰς Γραφὰς, πεπεῖσθαι ὅτι, ὅσα περὶ τῆς κτίσεως ἀπαντᾷ τοῖς ζητοῦσι τὸν περὶ αὐτοῦ λόγον, ταῦτα καὶ περὶ τῶν Γραφῶν· ἔστι δέ γε καὶ ἐν τῇ κτίσει τινὰ ἀνθρωπίνῃ φύσει δυσεύρετα ἢ καὶ ἀνεύρετα· καὶ οὐ διὰ τοῦτο κατηγορητέον τοῦ ποιητοῦ τῶν ὅλων . . . εἰ γὰρ κἀκεῖ οὐδὲν ἧττον τὰ ἀπόῤῥητα μένει, ἀποστάντων τῆς θεότητος· πόσῳ ὁσιώτερον ἦν, μένοντας ἐπὶ τῆς ἐννοίας τῆς περὶ Θεοῦ, ὑπὸ τῶν κτισμάτων τοῦ γενεσιουργοῦ θεωρουμένου, μηδὲν ἄθεον καὶ ἀνόσιον περὶ τοῦ τηλικούτου ἀποφαίνεσθαι Θεοῦ;» (δ).

Ἐγὼ δὲ εἴποιμι ἂν, ὅτι, ὥσπερ αἱ κρίσεις τοῦ Θεοῦ μεγάλαι καὶ δυσδιήγητοί εἰσι, δοκοῦσαι αἰτίαι τυγχάνειν τοῦ τὰς ἀπαιδεύτους πλανᾶσθαι ψυχὰς, οὕτω καὶ αἱ Γραφαὶ αὐτοῦ μεγάλαι μὲν καὶ πεπληρωμέναι νοημάτων εἰσὶν ἀπορῤῥήτων καὶ μυστικῶν καὶ δυσθεωρήτων· σφόδρα δὲ καὶ δυσδιήγητοί εἰσι, καὶ αἰτίαι δοκοῦσι τοῦ τὰς ἀπαιδεύτους πλανᾶσθαι τῶν ἑτεροδόξων ψυχὰς, ἀπερισκέπτως καὶ μετὰ προπετείας κατηγορούντων τοῦ Θεοῦ ἐξ ὧν οὐ νοοῦσι Γραφῶν, καὶ διὰ τοῦτο ἐκπιπτόντων ἐπὶ ἀναπλασμὸν ἄλλου Θεοῦ (ε).

Ἀλλὰ κεκλεῖσθαι καὶ ἐσφραγίσθαι τὰς Θείας Γραφὰς οἱ θεῖοί φασι λόγοι, τῇ κλειδὶ τοῦ Δαυὶδ, τάχα δὲ καὶ σφραγῖδι, περὶ ἧς εἴρηται τό· «Ἐκτύπωμα σφραγῖδος ἁγίασμα Κυρίῳ» (ϛ)· τουτέστι τῇ δυνάμει τοῦ δεδοκότος αὐτὰς Θεοῦ, τῇ ὑπὸ τῆς σφραγῖδος δηλουμένῃ. Περὶ μὲν οὖν τοῦ κεκλεῖσθαι καί ἐσφραγίσθαι ὁ Ἰωάννης ἀναδιδάσκει ἐν τῇ Ἀποκαλύψει λέγων· «Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Φιλαδελφείᾳ Ἐκκλησίας γράψον· τάδε λέγει ὁ ἅγιος, ὁ ἀληθινὸς, ὁ ἔχων τὴν κλεῖδα τοῦ Δαυίδ· ὁ ἀνοίγων καὶ οὐδεὶς κλείσει, καὶ κλείων, καὶ οὐδεὶς ἀνοίξει· κτλ.» (ζ) Περὶ δὲ τοῦ ἐσφραγίσθαι καὶ ὁ Ἠσαΐας οὕτω· «Καὶ ἔσται ὑμῖν τὰ ῥήματα ταῦτα πάντα καὶ οἱ λόγοι τοῦ βιβλίου τούτου τοῦ ἐσφραγισμένου κτλ. Καὶ δώσω τὴν κλεῖδα οἴκου Δαυίδ. κτλ.» (η)

Ταῦτα γὰρ οὐ μόνον περὶ τῆς Ἀποκαλύψεως Ἰωάννου καὶ τοῦ Ἠσαΐου νομιστέον λέ-

---

(α) Κολοσ. β'. 3. Κορινθ. ιβ'. 4. Α'. Κορ. β'. 7. Ὠριγ. τομ. ΙΓ'. 1476. (β) Ψαλ. ΙΑ'. 7.

(γ) Ματθ. Ε'. 18. Ὠριγ. τομ. ΙΒ'. 1080. (δ) Ὠριγ. τομ. ΙΒ'. 1081. (ε) Ὠριγ. τομ. ΙΒ'. 1453. (ϛ) Ἐξοδ. ΚΗ'. 36. (ζ) Ἀποκ. Γ'. 7. Ε'. 1 κ. ἑ. (η) Ἠσ. ΚΘ'. 11. ΚΒ'. 22. Ὠριγ. τομ. ΙΒ'. 1076.

γεσθαι, ἀλλὰ περὶ πάσης θείας Γραφῆς ὁμολογουμένως καὶ παρὰ τοῖς μετρίως ἐπαίειν λόγων θείων δυναμένοις, πεπληρωμένης αἰνιγμάτων καὶ παραβολῶν, σκοτεινῶν τε λόγων, καὶ ἄλλων ποικίλων εἰδῶν ἀσαφείας· ὅπερ διδάξαι βουλόμενος καὶ ὁ Σωτήρ φησιν, ὡς τῆς κλειδὸς οὔσης παρὰ τοῖς γραμματεῦσι καὶ Φαρισαίοις οὐκ ἀγωνιζομένοις τὴν ὁδὸν εὑρεῖν τοῦ ἀνοῖξαι, τό· «Οὐαὶ ὑμῖν τοῖς νομικοῖς· ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως, αὐτοί τε οὐκ εἰσήλθετε, καὶ τοὺς εἰσερχομένους οὐκ ἀφίετε εἰσελθεῖν.» (α)

Ἔοικε γὰρ ἡ ὅλη θεόπνευστος Γραφὴ διὰ τὴν ἐν αὐτῇ ἀσάφειαν, πολλοῖς οἴκοις ἐν οἰκίᾳ μιᾷ κεκλεισμένοις, ἑκάστῳ δὲ οἴκῳ παρακεῖσθαι κλεῖν οὐ τὴν κατάλληλον αὐτῷ· καὶ οὕτω διεσκεδάσθαι τὰς κλεῖς περὶ τοὺς οἴκους, οὐχ ἁρμοζούσας καθ' ἑκάστην ἐκείνοις, οἷς παράκειν ται· ἔργον δὲ εἶναι μέγιστον εὑρίσκειν τε τὰς κλεῖς καὶ ἐφαρμόζειν αὐτὰς τοῖς οἴκοις, οὓς ἀνοῖξαι δύνανται· νοεῖσθαι τοίνυν καὶ τὰς Γραφὰς οὔσας ἀσαφεῖς, οὐκ ἄλλοθεν τὰς ἀφορμὰς τοῦ νοεῖσθαι λαμβανούσας ἢ παρ' ἀλλήλων ἐχουσῶν ἐν αὐταῖς διεσπαρμένον τὸ ἐξηγητικόν. Ἡγοῦμαι γοῦν καὶ τὸν Ἀπόστολον τὴν τοιάνδε ἔφοδον τοῦ συνιέναι τοὺς θείους λόγους ὑποβάλλοντα λέγειν· «Ἃ καὶ λαλοῦμεν οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν διδακτοῖς Πνεύματος ἁγίου, πνευματικοῖς πνευματικὰ συγκρίνοντες. (β) Θεὸς γάρ φησιν ὁ μέγας Βασίλειος, τὴν ἐν ταῖς Γραφαῖς ἀσάφειαν ἐπ' ὠφελείᾳ τοῦ νοῦ, διεγείρων αὐτοῦ τὴν ἐνέργειαν, ἐπιτήδευσαν, ἵνα τούτοις ἐνασχολῆται καὶ τῶν χειρόνων ἀφέλκηται. (γ)

Ὁμολογοῦσι δὲ οἱ ἅγιοι ἄνδρες τὸν λόγον αὐτῶν, καὶ τὸ κήρυγμα, οὐκ ἐν πειθοῖ σοφίας εἶναι ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως· ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει Θεοῦ. (δ) Ἅτε δὲ οὐκ ἀσυναίσθητοι οἱ ἀπόστολοι τυγχάνοντες τῶν ἐν οἷς προσκόπτουσι, καὶ περὶ ἃ οὐκ ἠσχόληνται, φασὶν ἰδιῶται εἶναι τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει. Πνεῦμα θεῖον ὑπερορᾷ μικρολογίαν συγγραφικήν· οὐδὲν μέλει τῷ Θεῷ θεοφορήτου λέξεως (ε). Ἐφ' ᾧ ἔχομεν τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ καὶ μὴ ἐξ ἡμῶν (ς). Θησαυρὸν μὲν τὸν τῆς γνώσεως καὶ σοφίας τῆς ἀποκρύφου· ἐν ὀστρακίνοις δὲ σκεύεσι, τῇ εὐτελεῖ καὶ εὐκαταφρονήτῳ παρ' Ἕλλησι λέξει τῶν Γραφῶν ἀληθῶς ὑπερβολὴν δυνάμεως τοῦ Θεοῦ ἐμφαινομένῃ· ὅτι ἴσχυσε τὰ τῆς ἀληθείας μυστήρια, καὶ ἡ δύναμις τῶν λεγομένων οὐκ ἐμποδιζομένη ὑπὸ τῆς εὐτελοῦς φράσεως, φθάσαι ἕως περάτων γῆς, καὶ ὑπαγαγεῖν τῷ Χριστοῦ λόγῳ οὐ μόνον τὰ μωρὰ τοῦ κόσμου, ἀλλὰ καὶ τὰ σοφὰ αὐτοῦ. Βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοί, ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ δυνατοί, οὐ πολλοὶ εὐγενεῖς, ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, κτλ. (ζ).

Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις· σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, τῶν καταργουμένων· ἀλλὰ λαλοῦμεν σοφίαν Θεοῦ ἐν μυστηρίῳ, τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν (η). Διὰ πολλὰς τοίνυν αἰτίας ἐπικρύπτονται τὸν νοῦν αἱ Γραφαί· πρῶτον μὲν, ἵνα ζητητικοὶ ὑπάρχωμεν, καὶ προσαγρυπνῶμεν ἀεὶ τῇ τῶν σωτηρίων λόγων εὑρέσει· ἔπειτα μηδὲ τοῖς ἅπασι προσῆκον ἦν νοεῖν, ὡς μὴ βλαβεῖεν ἑτέρως ἐκδεξάμενοι τὰ ὑπὸ τοῦ ἁγίου Πνεύματος σωτηρίως εἰρημένα. Σφόδρα ὀλίγων τυγχάνει τῶν πάντα τὸν ἑαυτῶν βίον ἀνατεθει-

---

(α) Λουκ. ΙΑ'. 52. Ὠριγ. τομ. ΙΒ'. 1077. (β) Α'. Κορ. β'. 13. Ὠριγ. τόμ. ΙΒ'. 1080.
(γ) Βασ. τόμ. Α'. 128. (δ) Α'. Κορ. β'. 4. Ὠριγ. ΙΔ'. τομ. 184. 185. (ε) Συνεσ. τομ. ΞΓ'. 1561. (ς) Β'. Κορ. δ'. 4. Ὠριγ. ΙΔ'. 185. (ζ) Α'. Κορ. α'. 26. (η) α'. Κορ. Β'. 6.

κότων τῇ περὶ τὰς θείας Γραφὰς ἐξετάσει, τὸ δύνασθαι λογικώτερον παρακολουθεῖν τοῖς περιεχομένοις δογμασι, καὶ τῇ βαθυτέρᾳ τῶν Γραφῶν διανοίᾳ (α). Διὸ δὴ τοῖς ἐκλεκτοῖς τῶν ἀνθρώπων, τοῖς τε ἐκ πίστεως εἰς γνῶσιν ἐγκρίτοις τὰ ἅγια τῶν προφητῶν μυστήρια, ταῖς παραβολαῖς ἐγκαλύπτεται (β). «Σιωπῆς δὲ εἶδος ἡ ἀσάφεια, ᾗ κέχρηται ἡ Γραφή, δυσθεώρητον κατασκευάζουσα τῶν δογμάτων τὸν νοῦν πρὸς τὸ τῶν ἐντυγχανόντων λυσιτελές» (γ).

«Μετρεῖν εἴωθε τοῖς παιδευομένοις ἡ θεία Γραφὴ τὰ μαθήματα· καὶ τοῖς μὲν τελείοις προσφέρει τὰ τέλεια, τοῖς ἀτελέσι δὲ τὰ στοιχειώδη, καὶ τῇ σφῶν δυνάμει συμβαίνοντα (δ).

Γ.

Περὶ τῆς ἀληθείας τῆς καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας καὶ τῶν ἐκκλινάντων ἀπ' αὐτῆς αἱρετικῶν καὶ περὶ τῶν ἀπίστων τὰς αἱρέσεις προφασιζομένων.

Νύμφη πάναγνος τοῦ Κυρίου ἡμῶν ἡ Ἐκκλησία. Μόνη καθολικὴ καὶ ἀποστολική, τῶν ἄλλων μὲν, ἑνίων μὲν προσθήκαις, τινῶν δὲ ἀφαιρέσεσι, παντοίαις δὲ ἄλλων μεταβολαῖς τε καὶ ἀλλοιώσεσι τὸ θεοπαράδοτον κατακιβδηλευσάντων σέβας, ἐκκλασθέντων καὶ ἀποσχισθέντων, καὶ παρασυναγωγὰς συγκροτησάντων ἰδίας, αἷς καὶ τὸ πάνσεπτον αὐτῆς περιτίθενται ὄνομα κακῶς τε καὶ προπετῶς, ἤτοι ἐθελοκακίᾳ, ἢ τῆς σημασίας ἀγνοίᾳ. Αὐτὴ καὶ μόνη ἐπὶ τὴν πέτραν τὸν Χριστὸν θεμελιωθεῖσα, ἐν τῇ ἀποστολικῇ μένει εὐσεβείᾳ· ἃ παρ' αὐτῶν παρέλαβε τῶν θεσπεσίων ἀποστόλων, ἀπαραχάρακτα καὶ μέχρι κεραίας διαφυλάττουσα ἀνέπαφα. Μόνη καὶ δογματοφύλαξ ἀληθὴς καὶ ἀκριβεστάτη τυγχάνουσα νομοκράτωρ, μηδενὸς κατ' αὐτῆς, μηδὲ ᾅδου πυλῶν κατὰ τὴν δεσποτικὴν κατισχυουσῶν ἐπαγγελίαν. Ἔνθεν τοι αὐτή ἐστιν ἡ Μία, ἡ περιστερὰ ἡ τελεία, ὅλη καλὴ, καὶ μῶμον οὐκ ἔχουσα, ὡς κρῖνον ἐν μέσῳ τῶν νῦν ἀκανθῶν, ποτὲ δὲ καὶ ἀδελφῶν καὶ θυγατέρων.

Αὕτη ἐστὶν ἡ μόνη κραταιὰ καὶ ἀσάλευτος εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Οὐ γὰρ αἱ ἀποστολικαὶ μόνον ἐθεμελίωσαν αὐτὴν χεῖρες, ἀλλὰ καὶ τοῦ Δεσπότου τῶν ἀποστόλων ἡ ἀπόφασις ἐτείχισεν αὐτὴν καινῷ καὶ παραδόξῳ τειχισμοῦ τρόπῳ· οὐ γὰρ ξύλα καὶ λίθους συνθεὶς, οὕτως ᾠκοδόμησε τὸν περίβολον, οὐδὲ τάφρον ἔξωθεν περιελάσας, καὶ σκόλοπας καταπήξας, καὶ πύργους ἀναστήσας, οὕτως αὐτὴν ἠσφαλίσατο· ἀλλ' ἐφθέγξατο δύο ῥήματα ψιλὰ μόνον, καὶ ταῦτα ἤρκεσεν ἀντὶ τείχους αὐτῇ, καὶ πύργου, καὶ τάφρου, καὶ ἀσφαλείας ἁπάσης. Καὶ τίνα ἐστὶ τὰ ῥήματα, ἃ τοσαύτην ἔχει τὴν ἰσχύν; «Ἐπὶ τῇ πέτρᾳ ταύτῃ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύουσιν αὐτῆς.» Τοῦτό ἐστι τὸ τεῖχος, τοῦτο ὁ περίβολος, τοῦτο ἡ ἀσφάλεια, τοῦτο λιμὴν καὶ καταφυγή. Σκόπει δὲ καντεῦθεν τὸ ἀῤῥαγὲς αὐτῆς. Μὴ γὰρ ἴδῃς, ὅτι ῥῆμα ἦν, ἀλλ' ὅτι ῥῆμα Θεοῦ. Καὶ γὰρ τὸν οὐρανὸν ῥήματι ἐστερέωσεν ὁ Θεὸς, καὶ τὴν γῆν ῥήματι ἐθεμελίωσε, καὶ τὴν θάλασσαν τὴν ἀφόρητον ταῖς βίαις, ἐκείνην τὴν τοσαῦτα ἔχουσαν κύμα-

(α) Θεοφ. Ἀλεξ. τομ. ΞΕ'. 68. (β) Κλήμ. Ἀλ. τομ. Θ'. 349. (γ) Βασιλ. τομ. ΛΒ'. 189.
(δ) Θεοδωρ. Π'. 76. 77.

τα, ἀσθενεῖ τειχίῳτῇ ψάμμῳ πανταχόθεν ἐτείχισε διὰ ῥήματος. Ὁ τοίνυν διὰ ῥήματος τὸν οὐρανὸν στερεώσας, τὴν γῆν θεμελιώσας, τὴν θάλασσαν περιφράξας, τί θαυμάζεις, εἰ τὴν οὐρανοῦ, καὶ γῆς, καὶ θαλάσσης τιμιωτέραν Ἐκκλησίαν διὰ τοῦ ῥήματος τούτου πάλιν ἐτείχισεν; (α)

Ὑπὸ τοῦ Κυρίου ἡμῶν ὅμως προφητικῶς εἴρηται ὅτι ἐπισπαρήσονται αἱ αἱρέσεις τῇ ἀληθείᾳ, καθάπερ τῷ σίτῳ ἀνὰ μέσον τὰ ζιζάνια· καὶ ἀδύνατον μὴ γενέσθαι τὸ προειρημένον ἔσεσθαι. Ἦλθεν ὁ ἐχθρὸς καὶ ἔσπειρε ζιζάνια. Καὶ, ἀνένδεκτόν ἐστι μὴ ἐλθεῖν τὰ σκάνδαλα. Ὡς ἐκ τούτου οὖν δυνατὸν ἡμῖν ἐπιγνῶναι, ὅτι τὰ μετὰ τὴν ἀποστολικὴν παράδοσιν ἐπινενοημένα φρονήματα περιττὴ τίς ἐστι καὶ δαιμονιώδης ἐπισπορά. Τῶν μὲν γὰρ ἁγίων αὐτοῦ μαθητῶν μηδὲν ὑπολειψάντων τῆς ἀληθείας, τινὲς ἑτερόφρονες, ζιζανίων δίκην ἀνακύψαντες ἐπέκεινα τοῦ σίτου, πειρῶνται ὑπερεκτείνεσθαι μυστικώτερα τῶν Ἀποστόλων, ὡς οἴονται, διδάσκειν ἐπιχειρήσαντες. Ταῦτα δὲ πάσχουσιν, ὡς οἶμαι, διὰ τὸ παρατρέχειν αὐτοὺς τὰ συστατικὰ κεφάλαια τῆς Γραφῆς καί τινας περικοπὰς πρὸς τὸν ἴδιον σκοπὸν ἐκζητεῖν ἑκουσίως. (β) Μή τι οὖν, εἰ καὶ παραβαίη τις συνθήκας, καὶ τὴν ὁμολογίαν παρέλθοι τὴν πρὸς ἡμᾶς, διὰ τὸν ψευσάμενον τὴν ὁμολογίαν ἀφεξόμεθα τῆς ἀληθείας καὶ ἡμεῖς; Ἀλλ' ὡς ἀψευδεῖν χρὴ τὸν ἐπιεικῆ, καὶ μηδὲν ὧν ὑπέσχηται ἀκυροῦν, κἂν ἄλλοι τινὲς παραβαίνωσι συνθήκας· οὕτω καὶ ἡμᾶς κατὰ μηδένα τρόπον τὸν ἐκκλησιαστικὸν παραβαίνειν προσήκει κανόνα· καὶ μάλιστα τὴν περὶ τῶν μεγίστων ὁμολογίαν ἡμεῖς μὲν φυλάττομεν, οἱ δὲ παραβαίνουσι. Πιστευτέον οὖν τοῖς βεβαίως ἐχομένοις τῆς ἀληθείας. Μή τι οὖν, κάμνων τις τὸ σῶμα, καὶ θεραπείας δεόμενος οὐ προσίεται ἰατρὸν διὰ τὰς ἐν τῇ ἰατρικῇ αἱρέσεις; Οὐκ ἄρα οὐδὲ ὁ τὴν ψυχὴν νοσῶν καὶ εἰδώλων ἔμπλεως, ἕνεκά γε τοῦ ὑγιᾶναι καὶ εἰς Θεὸν ἐπιστρέψαι προφασίσαιτό ποτε τὰς αἱρέσεις. Ναὶ μὴν διὰ τοὺς δοκίμους αἱ αἱρέσεις, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται, κατὰ τὸν Ἀπόστολον (γ)· δοκίμους ἤτοι τοὺς εἰς πίστιν ἀφικνουμένους ἐκλεκτικώτερον προσιόντας τῇ κυριακῇ διδασκαλίᾳ, καθάπερ τοὺς δοκίμους τραπεζίτας τὸ κίβδηλον νόμισμα τοῦ κυρίου ἀπὸ τοῦ παραχαράγματος διακρίνοντας· ἢ τοὺς ἐν τῇ αὐτῇ πίστει δοκίμους ἤδη γενομένους κατά τε τὸν βίον, κατά τε τὴν γνῶσιν. Διὰ δὴ τοῦτο ἄρα πλείονος ἐπιμελείας καὶ προθυμίας δεόμεθα εἰς τὴν ἐξέτασιν τοῦ ἀκριβῶς βιωτέον, καὶ τίς ἡ ὄντως οὖσα θεοσέβεια. Δῆλον γάρ, ὅτι δυσκόλου καὶ δυσέργου τῆς ἀληθείας τυγχανούσης, διὰ τοῦτο γεγόνασιν αἱ ζητήσεις, ἀφ' ὧν αἱ φίλαυτοι καὶ φιλόδοξοι αἱρέσεις, μὴ μαθόντων μὲν μηδὲ παρειληφότων ἀληθῶς, οἴησιν δὲ γνώσεως εἰληφότων. Διὰ πλείονος τοίνυν φροντίδος ἐρευνητέον τὴν τῷ ὄντι ἀλήθειαν, ἣ μόνη περὶ τὸν ὄντως ὄντα Θεὸν καταγίνεται· πόνῳ δὲ ἕπεται γλυκεῖα εὕρεσίς τε καὶ μνήμη (δ).

Οὐ γὰρ ἁπλῶς ἀποφαινομένοις ἀνθρώποις προσέχομεν, οἷς καὶ ἀνταποφαίνεσθαι ἐπίσης ἔξεστιν. Ἔχομεν γὰρ τὴν ἀρχὴν τῆς διδασκαλίας τὸν Κύριον, διά τε τῶν προφητῶν, διά τε τοῦ Εὐαγγελίου, καὶ διὰ τῶν μακαρίων ἀποστόλων, πολυτρόπως καὶ πολυμερῶς ἐξ ἀρχῆς εἰς τέλος ἡγούμενον τῆς ἀληθοῦς γνώσεως καὶ εὐσεβείας. Εἰ δὲ οὐκ ἀρκεῖ μόνον ἁπλῶς εἰπεῖν τὸ δόξαν, ἀλλὰ πιστώσασθαι δεῖ τὸ λεχθὲν, οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένομεν μαρτυρίαν, ἀλλὰ τῇ τοῦ Κυρίου φωνῇ πιστούμεθα τὸ ζητούμενον· ἢ πασῶν ἀποδείξεων ἐγγυωτέρα, μᾶλλον δὲ ἡ μόνη ἀπόδειξις οὖσα τυγχάνει· καθ' ἣν ἐπιστήμην οἱ

(α) Χρυσ. τόμ. ΝΑ'. 77—79. (β) Μάρκ. Ἐρημ. τομ. ΞΕ'. 1117. (γ) Α'. Κορ. ια'. 19.
(δ) Κλημ Ἀλεξ. τομ. Θ'. 525.

μὲν ἀπογευσάμενοι μόνων τῶν Γραφῶν πιστοὶ, οἱ δὲ καὶ προσωτέρω χωρίσαντες ἀκριβεῖς γνώμονες τῆς ἀληθείας ὑπάρχουσι. (α)

Καὶ δὴ τριῶν οὐσῶν διαθέσεων τῆς ψυχῆς, ἀγνοίας, οἰήσεως, ἐπιστήμης, οἱ μὲν ἐν τῇ ἀγνοίᾳ τὰ ἔθνη, οἱ δὲ ἐν τῇ ἐπιστήμῃ, ἡ Ἐκκλησία ἡ ἀληθὴς, οἱ δὲ ἐν οἰήσει οἱ κατὰ τὰς αἱρέσεις. (β) Ὅθεν Ἐκκλησία ἡ καθολικὴ καὶ ἀποστολικὴ μόνη καὶ ἀληθὴς καὶ ἀλάνθαστος, ἔχουσα τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσι, τουτέστι τὸν οὐράνιον πλοῦτον, καὶ τὰ ὑπερφυῆ καὶ μείζονα τῆς ἡμετέρας ἀξίας χαρίσματα ἐν τῷ θνητῷ τούτῳ σώματι, ὀστρακίνῳ δικαίως κληθέντι, ἐπειδή περ ἐκ γῆς γέγονεν· οὐχ ἧττον δὲ ἔχει τὸν πλοῦτον τῆς θείας σοφίας ἐν ταῖς ἱεραῖς Γραφαῖς, εὐτελέσι καὶ ἰδιωτικαῖς λέξεσι καὶ παραδείγμασιν ἐμπεριεχόμενον, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἡμῶν. Ἐν τοσαύτῃ γὰρ σαφηνείᾳ οὕτως ἀπόρρητοι λόγοι καθάπερ θησαυροί τινες ἐνοικοῦσιν, ὡς καὶ τοὺς σοφωτάτους καὶ ἐλλογιμωτάτους τῶν ἀνθρώπων ἰλιγγιᾷν, καὶ παραχωρεῖν πολλάκις τῷ ἀκαταλήπτῳ τῆς σοφίας. (γ)

Ὅθεν ἀπόδειξις τρανωτάτη ἐστὶν, ὅτι ἡ τῷ ὄντι γνῶσις καὶ ἀκριβεστάτη ἀλήθεια ἐν τῇ ἀρχαίᾳ μόνῃ Ἐκκλησίᾳ διατελεῖ οὖσα. Τῶν δὲ ἀπὸ τῆς ἀληθείας ἐκτρεπομένων οἱ μὲν σφᾶς αὐτοὺς μόνους, οἱ δὲ καὶ τοὺς πέλας ἐξαπατᾷν ἐπιχειροῦσιν. Οἱ τοιοῦτοι ἅτε ἀποπεσόντες τῆς ὀρθῆς ὁδοῦ, καὶ τοῖς πλείστοις τῶν κατὰ μέρος σφάλλονται· εἰκότως, διὰ τὸ μὴ ἔχειν ἀληθῶν καὶ ψευδῶν κριτήριον, συγγεγυμνασμένον ἀκριβῶς τὰ δέοντα αἱρεῖσθαι. Εἰ γὰρ ἐκέκτηντο, ταῖς θείαις ἐπείθοντο ἂν Γραφαῖς. Καθάπερ οὖν εἴ τις ἐξ ἀνθρώπων θηρίον γένοιτο παραπλησίως τοῖς ὑπὸ τῆς Κίρκης φαρμαχθεῖσιν, οὕτως ἄνθρωπος εἶναι τοῦ Θεοῦ καὶ πιστὸς τῷ Κυρίῳ διαμένειν ἀπολώλεκεν ὁ ἀναλακτίσας τὴν ἐκκλησιαστικὴν παράδοσιν, καὶ ἀποσκιρτήσας εἰς δόξαν ἀνθρωπίνων αἱρέσεων. Ὁ δὲ ἐκ τῆσδε τῆς ἀπάτης παλινδρομήσας, κατακούσας τῶν Γραφῶν, καὶ τὸν ἑαυτοῦ βίον ἐπιστρέψας τῇ ἀληθείᾳ, οἷον ἐξ ἀνθρώπου Θεὸς ἀποτελεῖται.

Καὶ ἡ μὲν καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία σύμφωνός ἐστιν· αἱ δὲ τῶν αἱρετικῶν διατριβαὶ διαφωνοῦσι πρὸς ἀλλήλας· οὐδὲν γὰρ σαφέστερον ἰδεῖν ἐστι τοὺς ἐπισταμένους περὶ ὧν ἴσασι διαβεβαιουμένους, ἢ τούτους περὶ ὧν οἴονται, ὅσον γε ἐπὶ τῷ διαβεβαιοῦσθαι ἄνευ τῆς ἀποδείξεως. Καταφρονοῦσι γὰρ ἀλλήλων οἱ αἱρετικοὶ καὶ καταγελῶσι· καὶ συμβαίνει τὸν αὐτὸν νοῦν, παρ' οἷς μὲν ἐντιμότατον εἶναι, παρ' οἷς δὲ παρανοίας ἡλωκέναι. Καίτοι μεμαθήκαμεν ἄλλο μέντοι εἶναι ἡδονὴν, ἣν ἐν τοῖς ἔθνεσιν ἀπονεμητέον, ἄλλο δέ τι ἔριν, ἣν ἐν ταῖς αἱρέσεσι προκριτέον· ἄλλο χαρὰν, ἣν τῇ Ἐκκλησίᾳ προσοικειωτέον ἐπὶ τῇ ἀληθείᾳ εὐφραινομένῃ (δ).

Ὧν οὕτως ἐχόντων, συμφανὲς ἐκ τῆς προγενεστάτης καὶ ἀληθεστάτης Ἐκκλησίας, τὰς μεταγενεστέρας ταύτας καὶ τὰς ἔτι τούτων ὑποδεεστέρας τῷ χρόνῳ κεκαινοτομεῖσθαι παραχθείσας αἱρέσεις. Ἐκ τῶν εἰρημένων ἄρα φανερὸν οἶμαι γεγενῆσθαι, μίαν εἶναι τὴν ἀληθῆ Ἐκκλησίαν, τὴν τῷ ὄντι ἀρχαίαν, εἰς ἣν οἱ κατὰ πρόθεσιν δίκαιοι ἐγκαταλέγονται· ἑνὸς γὰρ ὄντος τοῦ Θεοῦ καὶ ἑνὸς τοῦ Κυρίου, διὰ τοῦτο καὶ τὸ ἄκρως τίμιον κατὰ τὴν μόνωσιν ἐπαινεῖται, μίμημα ὂν ἀρχῆς τῆς μιᾶς. Τῇ γοῦν τοῦ ἑνὸς φύσει συγκληροῦται Ἐκκλησία μία, ἣν εἰς πολλὰς κατατέμνειν βιάζονται αἱρέσεις. Κατά τε οὖν ὑπόστασιν, κατά τε ἐπίνοιαν, κατά τε ἀρχὴν, κατά τε ἐξοχὴν, μόνην εἶναι φαμὲν τὴν

(α) Κλήμ. Ἀλεξ. τόμ. Θ'. 533. (β) Ὁ αὐτ. αὐτόθι 540. (γ) Ἰσιδ. Πηλ. τομ. ΟΗ'. 460.
(δ) Κλήμ. Ἀλεξ. τομ. Θ'. 528. 532. 540.

ἀρχαίαν καὶ καθολικὴν Ἐκκλησίαν, εἰς ἑνότητα πίστεως μιᾶς τῆς κατὰ τὰς οἰκείας διαθήκας, μᾶλλον δὲ κατὰ τὴν διαθήκην τὴν μίαν διαφόροις τοῖς χρόνοις ἑνὸς τοῦ Θεοῦ τῷ βουλήματι δι' ἑνὸς τοῦ Κυρίου συνάγουσαν τοὺς ἤδη κατατεταγμένους, οὓς προώρισεν ὁ Θεὸς, δικαίους ἐσομένους πρὸ καταβολῆς κόσμου ἐγνωκώς (α).

Ἐπεὶ οὖν τῆς νέας ἡ παλαιὰ Διαθήκη προπαρασκευή τίς ἐστι καὶ προοδοποίησις, αὐτὴν πῇ τυπικῶς, πῇ δὲ σκιωδῶς, ἔστι δ' ὅπου καὶ ῥητῶς ἐκφαίνουσα, κατὰ πάντα δ' αὐτὴ ὁμοφωνοῦσά τε καὶ συνᾴδουσα· εἴ γε δὴ ἑκατέρας εἷς καὶ ὁ αὐτὸς δοτὴρ ὁ Θεός· διὰ τοῦτο θατέρας ἀναπτυσσομένης, ἀκράδαντα τῆς ἑτέρας ὁ λόγος ἐπιστηρίζεται, καὶ θαυμασίως λευκαίνεται ἡ διάνοια. Διὸ δὴ καὶ τὰς ἐν τῷ μύλωνι τὸν οὐράνιον σῖτον, τὸν τῆς ἀληθείας λόγον, ἀληθούσας δύο ἀκούομεν· καὶ τὸν οἰκοδεσπότην καινὰ καὶ παλαιὰ ἐκ τοῦ θησαυροῦ ἐκβάλλοντα· καὶ τὸν πανδοχέα οὐχ ἕν, ἀλλὰ δύο καὶ λαβόντα, καὶ προσδαπανῆσαι κελευσθέντα δηνάρια· καὶ τῶν νομοθετῶν ἑκάτερον, πρὸς τὸν ἕτερον παραπέμποντα· τὸν μὲν, διὰ τοῦ, «Προφήτην ἐκ τῶν ἀδελφῶν σου, ὡς ἐμὲ, ἀναστήσει σοι Κύριος ὁ Θεός σου, αὐτοῦ ἀκούσεσθε»· τὸν δὲ, διὰ τοῦ, «Εἰ γὰρ ἐπιστεύετε Μωσῇ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν» (β).

Ἀλλὰ καὶ ἡ ἐξοχὴ τῆς Ἐκκλησίας, καθάπερ ἡ ἀρχὴ τῆς συστάσεως, κατὰ τὴν μονάδα ἐστὶ, πάντα τὰ ἄλλα ὑπερβάλλουσα, καὶ μηδὲν ἔχουσα ὅμοιον ἢ ἴσον ἑαυτῇ. Τῶν δὲ αἱρέσεων αἱ μὲν ἀπὸ ὀνόματος προσαγορεύονται· αἱ δὲ ἀπὸ τόπου· αἱ δὲ ἀπὸ ἔθνους· αἱ δὲ ἀπὸ ἐνεργείας· αἱ δὲ ἀπὸ δογμάτων ἰδιαζόντων· αἱ δὲ ἀπὸ ὑποθέσεων, καὶ ὧν τετιμήκασιν· αἱ δὲ ἀφ' ὧν παρανόμως ἐπιτήδευσάν τε καὶ ἐτόλμησαν. Ἡ δὲ καθολικὴ Ἐκκλησία, μία πάντων γέγονε τῶν ἀποστόλων, ὥσπερ διδασκαλία, οὕτω δὲ καὶ ἡ παράδοσις (γ).

Οὗτος ἐκκλησιαστικὸς κανών. Οὕτω καὶ ἡμᾶς κατὰ μηδένα τρόπον παραβαίνειν τὸν ἐκκλησιαστικὸν κανόνα προσήκει· καὶ μάλιστα τὴν περὶ τῶν μεγίστων ὁμολογίαν ἡμεῖς μὲν φυλάτομεν· οἱ δὲ αἱρετικοὶ παραβαίνουσι (δ).

Δ.

Περὶ τῶν ἱερῶν παραδόσεων.

Ἡ θεία Γραφὴ οὐκ ἐθεωρήθη κατ' ἀρχὰς, οὐδὲ νῦν θεωρηθῆναι δύναται ὡς ἡ μόνη πηγὴ τῆς χριστιανικῆς πίστεως· ἔχει παρεπομένην αὐτῇ πάντοτε τὴν ἱερὰν παράδοσιν. Τοῦτο κατάδηλον γίνεται ἔκ τε τοῦ χριστιανικοῦ κηρύγματος καὶ ἐξ αὐτοῦ τοῦ χριστιανισμοῦ. Ὁ χριστιανισμὸς τὸ κατ' ἀρχας διὰ ζώσης μόνον φωνῆς ἐκηρύττετο καὶ ἐξηπλοῦτο, ἐν μέρει δὲ μόνον καὶ ἐνίοτε διὰ γραφῆς. Αὐτὸς ὁ Σωτὴρ ἐν πρώτοις ἐκήρυξε τὴν θείαν αὐτοῦ διδασκαλίαν καὶ οὐδὲν ἔγραψεν· εἶτα δὲ πολλοὶ τῶν Ἀποστόλων ἐδίδαξαν αὐτὴν, οὐδὲν γραπτὸν ὡσαύτως καταλιπόντες· τινὲς δ' αὐτῶν ἐξεπλήρωσαν τὸ ἔργον τοῦ κηρύγματος διὰ ζώσης μόνον φωνῆς καὶ διὰ γραφῆς πρὸς τὰς περιστάσεις. Ἀλλὰ τότε μόνον ἔγραψαν, ἀφ' οὗ πρότερον προφορικῶς διὰ πολλοῦ χρόνου ἐκήρυξαν τὸ εὐαγγέλιον. Ἔγραψαν δ', ὡς αὐτοὶ λέγουσι, περὶ πραγμάτων γνωστῶν καὶ πεπληροφορημένων· ἔγραψαν

(α) Κλημ. Ἀλεξ. τομ. Θʹ. 552. (β) Ματθ. ΚΔʹ. 41. ΙΓʹ. 52 Λουκ. Γʹ. 35. Δευτερ. ΙΗʹ. 15—18 Ἰωαν. Εʹ. 46. (γ) Κλήμ. Ἀλεξ. τομ. Θʹ. 552. (δ) Ὁ αὐτ. Θʹ. 528.

πρὸς ἀνθρώπους, οὓς αὐτοὶ πρότερον ἐδίδαξαν τὴν πίστιν, διὰ ζώσης φωνῆς· ὥστε ἐκ τούτων καταφαίνεται ἀριδήλως οἵα ἐστὶν ἡ ἀξία τῶν ἱερῶν παραδόσεων.

Ἡ θεόπνευστος λοιπὸν θεία Γραφὴ μετὰ τῶν ἱερῶν Ἀποστολικῶν παραδόσεων ὁμολογουμένως καὶ ἀναντιρρήτως ἀποτελοῦσι τὴν μίαν ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν, τὴν προγενεστάτην καὶ ἀληθεστάτην. Ὅτι δὲ αἱ ἱεραὶ παραδόσεις ἀποστολικαί εἰσιν, αὐτοὶ οἱ θεόπνευστοι συγγραφεῖς καὶ διδάσκαλοι ἡμῶν βεβαιοῦσι. «Ἔστι δὲ καὶ ἄλλα πολλά, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ» (α). «Ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις; Ὁ δὲ εἶπε, πῶς γὰρ ἂν δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με;» (β) «Ἄρα οὖν, ἀδελφοί, στήκετε, καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ἡμῶν» (γ). «Ὦ Τιμόθεε, τὴν παρακαταθήκην φύλαξον» (δ). «Ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων, ὧν παρ' ἐμοῦ ἤκουσας, ἐν πίστει καὶ ἀγάπῃ τῇ ἐν Χριστῷ Ἰησοῦ, τὴν καλὴν παρακαταθήκην φύλαξον διὰ Πνεύματος ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν» (ε). «Ἐπαινῶ δὲ ὑμᾶς, ἀδελφοί, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις κατέχετε» (ς).

Ἀλλὰ καὶ οἱ ποιμένες καὶ διδάσκαλοι τῆς καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, οἱ τῶν θεοκηρύκων ἀποστόλων διάδοχοι, οὕτως ἀποφαίνονται περὶ τῶν ἱερῶν παραδόσεων· Ἰγνάτιος ὁ Θεοφόρος, παρ' Εὐσεβίῳ· «Προὔτρεπέ τε ἀπρὶξ ἔχεσθαι τῆς τῶν ἀποστόλων παραδόσεως, ἣν ὑπὲρ ἀσφαλείας καὶ ἐγγράφως ἤδη μαρτυρόμενος, διατυποῦσθαι ἀναγκαῖον ἡγεῖτο». (ζ) Εἰρηναῖος· «Τοῦτο τὸ κήρυγμα παρειληφυῖα, καὶ ταύτην τὴν πίστιν ἡ Ἐκκλησία, καθάπερ ἐν ὅλῳ τῷ κόσμῳ διεσπαρμένη, ἐπιμελῶς φυλάσσει, ὡς οἶκον οἰκοῦσα· καὶ ὁμοίως πιστεύει τούτοις, ὡς μίαν ψυχὴν καὶ τὴν αὐτὴν ἔχουσα καρδίαν καὶ συμφώνως ταῦτα κηρύσσει, καὶ διδάσκει καὶ παραδίδωσιν, ὡς ἓν στόμα κεκτημένη. Κἂν γὰρ αἱ κατὰ κόσμον διάλεκτοι ἀνόμοιοι, ἀλλ' ἡ δύναμις τῆς παραδόσεως μία καὶ ἡ αὐτή. Γνῶσις δὲ ἀληθὴς ἡ τῶν ἀποστόλων διδαχὴ καὶ τὸ ἀρχαῖον τῆς Ἐκκλησίας σύστημα κατὰ παντὸς τοῦ κόσμου». (η) Κλήμης Ἀλεξανδρεύς· «Ἡ δὲ καθολικὴ Ἐκκλησία μία γέγονε πάντων τῶν ἀποστόλων, ὥσπερ διδασκαλία, οὕτω δὲ καὶ ἡ παράδοσις». Καὶ πάλιν ὁ αὐτός· «Ἡ γνῶσις δὲ αὐτή, ἡ κατὰ διαδοχὰς εἰς ὀλίγους ἐκ τῶν ἀποστόλων ἀγράφως παραδοθεῖσα, κατελήλυθεν· ἐντεῦθεν δὲ ἄρα γνῶσιν εἴτε σοφίαν συνασκηθῆναι χρὴ εἰς ἕξιν θεωρίας ἀΐδιον καὶ ἀναλλοίωτον». Καὶ πάλιν· «Εἴρητο γὰρ ἀπ' ἀρχῆς μόνοις τοῖς νοοῦσιν. Αὐτίκα διδάξαντος τοῦ Σωτῆρος τοὺς ἀποστόλους, ἡ τῆς ἐγγράφου ἄγραφος ἤδη καὶ εἰς ἡμᾶς διαδίδοται παράδοσις, καρδίαις καιναῖς κατὰ τὴν ἀνακαίνωσιν τοῦ βιβλίου τῇ δυνάμει τοῦ Θεοῦ ἐγγεγραμμένη»· (θ) Καὶ πάλιν· «Ἀλλ' οἱ μὲν τὴν ἀληθῆ τῆς μακαρίας σώζοντες διδασκαλίας παράδοσιν, εὐθὺς ἀπὸ Πέτρου τε καὶ Ἰακώβου, Ἰωάννου τε καὶ Παύλου, τῶν ἁγίων ἀποστόλων, παῖς παρὰ πατρὸς ἐκδεχόμενος (ὀλίγοι δὲ οἱ πατράσιν ὅμοιοι), ἧκον δὴ σὺν Θεῷ καὶ εἰς ἡμᾶς τὰ προγονικὰ ἐκεῖνα καὶ ἀποστολικὰ καταθησόμενοι σπέρματα· καὶ εὖ οἶδα ὅτι ἀγαλλιάσονται οὐχὶ τῇ ἐκφράσει ἡσθέντες λέγω τῇδε, μόνῃ δὲ τῇ κατὰ τὴν ὑποσημείωσιν τηρήσει. Ποθούσης γάρ, οἶμαι, ψυχῆς τὴν μακαρίαν παράδοσιν ἀδιάδραστον φυλάττειν, ἡ τοιάδε ὑποτύπωσις· «Ἀνδρὸς δὲ φιλοῦντος σοφίαν, εὐφρανθήσεται πατήρ» . . . Εἷς γὰρ ὁ διδάσκαλος καὶ τοῦ λέγοντος καὶ τοῦ ἀκροωμένου ὁ ἐπιπηγάζων καὶ τὸν νοῦν καὶ τὸν λόγον· μεταδιδόναι δὲ τῶν θείων μυστη-

(α) Ἰωάν. Κ'. 30. (β) Πράξ. Η'. 30. (γ) Β'. Θεσ. β'. 15. (δ) Α'. Τιμοθ. ς'. 20.
(ε) Β'. Τιμοθ. α'. 13. Β'. 2. (ς) Α'. Κορ. ια'. 2. (ζ) Εὐσέβ. Παμ. τόμ. Κ'. 288.
(η) Εἰρην. τόμ. Ζ'. 552. 553. 1077. (θ) Κλήμ. Ἀλεξ. τόμ. Θ'. 284. 356.

ρίων καὶ τοῦ φωτὸς ἐκείνου τοῦ ἁγίου τοῖς χωρεῖν δυναμένοις, συγκεχώρηκεν. Αὐτίκα οὐ πολλοῖς ἀπεκάλυψεν ἃ μὴ πολλῶν ἦν, ὀλίγοι δὲ οἷς προσήκειν ἠπίστατο, τοῖς οἷς τε ἐκδέξασθαι καὶ τυπωθῆναι πρὸς αὐτά· τὰ δὲ ἀπόρρητα, καθάπερ ὁ Θεὸς, λόγῳ πιστεύεται... Ἀλλὰ γὰρ τὰ μυστήρια μυστικῶς παραδίδοται, ἵνα ᾖ ἐν στόματι λαλοῦντος καὶ ὃ λαλεῖται· μᾶλλον δὲ οὐκ ἐν φωνῇ, ἀλλ' ἐν τῷ νοεῖσθαι. Δέδωκεν ὁ Θεὸς τῇ Ἐκκλησίᾳ τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ εὐαγγελιστὰς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους, πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ». κ. ἑ. (α) Καὶ πάλιν· «Χαλεπὸν γὰρ τοὺς περὶ τοῦ ἀληθινοῦ φωτὸς καθαροὺς ὄντως καὶ διαυγεῖς ἐπιδεῖξαι λόγους ἀκροατῶν τοῖς ὑώδεσί τε καὶ ἀπαιδεύτοις». (β) Πρὸς δὲ λέγει ὁ ἱερὸς Κλήμης περὶ τῶν ἱερῶν παραδόσεων, ὅτι ἐλάχιστα ἀναφέρει περὶ αὐτῶν, καί τοι πολλῶν ὄντων εἰς μαρτυρίαν καὶ ἀπόδειξιν. (γ)

Εὐσέβιος ὁ Παμφίλου μνημονεύων τῶν τοῦ Κλήμεντος· «Ἰακώβῳ τῷ Δικαίῳ καὶ Ἰωάννῃ καὶ Πέτρῳ μετὰ τὴν ἀνάστασιν παρέδωκε τὴν γνῶσιν ὁ Κύριος. Οὗτοι τοῖς λοιποῖς ἀποστόλοις παρέδωκαν. Οἱ δὲ λοιποὶ ἀπόστολοι τοῖς ἑβδομήκοντα, ὧν εἷς ἦν καὶ Βαρνάβας· ἡ γνῶσις δὲ αὐτὴ, ἣ κατὰ διαδοχὰς εἰς ὀλίγους ἐκ τῶν ἀποστόλων ἀγράφως παραδοθεῖσα κατελήλυθεν». (δ)

Ἀθανάσιος Ἀλεξανδρείας· «Ἡμῶν δὲ ἡ πίστις ἐστὶν ἡ ὀρθὴ καὶ ἐκ διδασκαλίας Ἀποστόλων ὁρμωμένη, καὶ παραδόσεως τῶν πατέρων βεβαιουμένη, ἔκ τε Νέας καὶ Παλαιᾶς Διαθήκης». (ε) «Ἴδωμεν δὲ ὅμως καὶ πρὸς τούτοις καὶ αὐτὴν τὴν ἐξ ἀρχῆς παράδοσιν καὶ διδασκαλίαν καὶ πίστιν τῆς καθολικῆς Ἐκκλησίας, ἣν ὁ μὲν Κύριος ἔδωκεν, οἱ δὲ Ἀπόστολοι ἐκήρυξαν, καὶ οἱ Πατέρες ἐφύλαξαν· ἐν ταύτῃ γὰρ ἡ Ἐκκλησία τεθεμελίωται». (ς) «Καθαροὺς οὖν ἑαυτοὺς μᾶλλον ἀπὸ τούτων φυλάττετε, καὶ τηρεῖτε τὴν τῶν πατέρων παράδοσιν, καὶ προηγουμένως τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εὐσεβῆ πίστιν, ἣν ἐκ τῶν Γραφῶν μὲν μεμαθήκατε, παρ' ἐμοῦ δὲ πολλάκις ὑπεμνήσθητε.» (ζ) «Τὰ γὰρ πίστει παραδοθέντα, ταῦτα οὐκ ἐν ἀνθρωπίνῃ σοφίᾳ, ἀλλ' ἐν ἀκοῇ πίστεως διανοεῖσθαι πρέπει». (η)

Βασίλειος Καισαρείας· «Ἀλλὰ μὴ χωρίσῃς Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον· δυσωπείτω σε ἡ παράδοσις· ὁ Κύριος οὕτως ἐδίδαξεν, Ἀπόστολοι ἐκήρυξαν, Πατέρες διετήρησαν, μάρτυρες ἐβεβαίωσαν· ἀρκέσθητι λέγειν, ὡς ἐδιδάχθης, καὶ μή μοι τὰ σοφὰ ταῦτα» (θ). «Ἤδη δὲ καὶ περὶ τοῦ Πνεύματος τὰς κοινὰς ἡμῶν ἐννοίας ὁποῖαί τινές εἰσιν ἐξετάσωμεν, τάς τε ἐκ τῶν Γραφῶν περὶ αὐτοῦ συναχθείσας ἡμῖν, καὶ ἃς ἐκ τῆς ἀγράφου παραδόσεως τῶν Πατέρων διεδεξάμεθα» (ι). «Πίστις δέ ἐστι τὸ πολεμούμενον, καὶ κοινὸς σκοπὸς ἅπασι τοῖς ἐναντίοις καὶ ἐχθροῖς τῆς ὑγιαινούσης διδασκαλίας τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως κατασεῖσαι, ἐκ τοῦ τὴν ἀποστολικὴν παράδοσιν ἐδαφισθεῖσαν ἀφανισθῆναι. Διὰ τοῦτο, ὡς τῶν χρεωφειλετῶν οἱ δῆθεν εὐγνώμονες, τὰς ἐκ τῶν ἐγγράφων ἀποδείξεις ἐπιβοῶνται, τὴν ἄγραφον τῶν Πατέρων μαρτυρίαν ὡς οὐδενὸς ἀξίαν ἀποπεμπόμενοι» (ια). «Ἴση ἐστὶν ἡ ζημία ἢ ἄμοιρόν τινα τοῦ βαπτίσματος ἀπελθεῖν, ἢ ἕν τι τῶν ἐκ τῆς παραδόσεως ἐλλεῖπον δέξασθαι» (ιβ). «Τῶν ἐν τῇ Ἐκκλησίᾳ περυλαγμένων δογμάτων καὶ κηρυγμάτων τὰ μὲν ἐκ τῆς ἐγγράφου διδασκαλίας ἔχομεν, τα

(α) Κλημ. Ἀλεξ. τομ. Η'. 700 κ. ἑ. (β) Ὁ αὐτ. τόμ. Η'. 753. (γ) Ὁ αὐτὸς τομ. Η'. 701. 704. κ. ἑ. (δ) Εὐσέβ. τομ. Κ'. 136. (ε) τόμ. ΚΓ'. 1080. (ς) ΚΓ'. 593. (ζ) ΚΓ'. 968. (η) ΚΓ'. 569. (θ) τομ. ΛΑ'. 612. (ι) τομ. ΛΒ'. 108. (ια) ΛΒ'. 112. (ιβ) ΛΒ'. 113.

δὲ ἐκ τῆς τῶν Ἀποστόλων παραδόσεως διαδοθέντα ἡμῖν ἐν μυστηρίῳ παρεδεξάμεθα· ἅπερ ἀμφότερα τὴν αὐτὴν ἰσχὺν ἔχει πρὸς τὴν εὐσέβειαν. Καὶ τούτοις οὐδεὶς ἀντερεῖ, οὐκοῦν ὅστις γε κατὰ μικρὸν γοῦν θεσμῶν ἐκκλησιαστικῶν πεπείραται. Εἰ γὰρ ἐπιχειρήσαιμεν τὰ ἄγραφα τῶν ἐθῶν ὡς μὴ μεγάλην ἔχοντα τὴν δύναμιν παραιτεῖσθαι, λάθοιμεν ἂν εἰς αὐτὰ τὰ καίρια ζημιοῦντες τὸ Εὐαγγέλιον· μᾶλλον δὲ εἰς ὄνομα ψιλὸν παριστῶντες τὸ κήρυγμα» κτλ. (α). «Κατὰ τὸν αὐτὸν δὴ τρόπον καὶ οἱ τὰ περὶ τὰς Ἐκκλησίας ἐξ ἀρχῆς διαθεσμοθετήσαντες Ἀπόστολοι καὶ Πατέρες ἐν τῷ κεκρυμμένῳ καὶ ἀφθέγκτῳ τὸ σεμνὸν τοῖς μυστηρίοις ἐφύλασσον. Οὐδὲ γὰρ ὅλως μυστήριον τὸ εἰς τὴν δημώδη καὶ εἰκαίαν ἀκοὴν ἔκφορον. Οὗτος ὁ λόγος τῆς τῶν ἀγράφων παραδόσεως, ὡς μὴ καταμεληθεῖσαν τῶν δογμάτων τὴν γνῶσιν εὐκαταφρόνητον τοῖς πολλοῖς γενέσθαι διὰ συνήθειαν. Ἄλλο γὰρ δόγμα, καὶ ἄλλο κήρυγμα. Τὸ μὲν γὰρ σιωπᾶται, τὸ δὲ κήρυγμα δημοσιεύεται» κτλ. (β). «Ἀποστολικὸν δὲ οἶμαι, καὶ τὸ ταῖς ἀγράφοις παραδόσεσι παραμένειν. Εἰ τὰ πλεῖστα τῶν μυστικῶν ἀγράφως ἡμῖν ἐμπεπολίτευται, μετὰ πολλῶν τῶν ἑτέρων καὶ τοῦτο παραδεξόμεθα» (γ). «Ἢ πάντων ἂν ἦν σχετλιώτατον, τοὺς μὲν βλασφημοῦντας τὸ Πνεῦμα οὕτως εὐκόλως πρὸς τὸν εὐσεβῆ λόγον ἀποθρασύνεσθαι· ἡμᾶς δὲ, τηλικοῦτον ἔχοντας συνασπιστὴν καὶ συνήγορον, ὀκνεῖν τὸν λόγον διακονεῖν, τὸν ἐκ τῆς τῶν Πατέρων παραδόσεως πρὸς ἡμᾶς ἀκολουθίᾳ μνήμης διασωθέντα» (δ).

Γρηγόριος ὁ Ναζιανζηνός· «Φυλάσσοντες τὴν καλὴν παρακαταθήκην, ἣν παρὰ τῶν Πατέρων εἰλήφαμεν· προσκυνοῦντες Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα, ἐν Υἱῷ τὸν Πατέρα, ἐν Πνεύματι τὸν Υἱὸν γινώσκοντες, εἰς ἃ βεβαπτίσμεθα, εἰς ἃ πεπιστεύκαμεν, οἷς συντετάγμεθα» (ε). «Ὁρῶν γὰρ (Ἰουλιανὸς) τὸν ἡμέτερον λόγον μέγαν ὄντα τοῖς δόγμασι καὶ ταῖς ἄνωθεν μαρτυρίαις . . .» Ἔτι δὲ μείζω καὶ γνωριμώτερον τοῖς παραδεδομένοις καὶ εἰς τόδε τετηρημένοις τύποις τῆς Ἐκκλησίας, ἵνα μηδὲ τοῦτο ἀκακούργητον μένῃ, τί μηχανᾶται καὶ τί ποιεῖ;» (ς). «Τί με δεῖ καταριθμεῖν ἕκαστα . . . Πόσαι ταῦτα καὶ βίβλοι καὶ μνῆμαι φέρουσι;» (ζ). «Οὐ γὰρ ὅσιον οὐδὲ τὰς ἐλαχίστας πράξεις εἰκῆ σπουδασθῆναι τοῖς ἀναγράψασι, καὶ μέχρι τοῦ παρόντος μνήμῃ διασωθῆναι» (η). «Πάλιν καὶ πολλάκις ἀνακυκλεῖς ἡμῖν τὸ ἄγραφον. Ὅτι μὲν οὖν οὐ ξένον τοῦτο, οὐδὲ παρείσακτον, ἀλλὰ καὶ τοῖς πάλαι καὶ τοῖς νῦν γνωριζόμενον καὶ παραγυμνούμενον, δέδεικται μὲν ἤδη πολλοῖς τῶν περὶ τούτου διειληφότων, ὅσοι μὴ ῥαθύμως, μηδὲ παρέργως ταῖς θείαις Γραφαῖς ἐντυχόντες» κτλ. (θ).

Γρηγόριος ὁ Νύσσης· «Ἀρκεῖ γὰρ εἰς ἀπόδειξιν τοῦ ἡμετέρου λόγου τὸ ἔχειν πατρόθεν τὴν παράδοσιν, οἷόν τινα κλῆρον δι' ἀκολουθίας ἐκ τῶν Ἀποστόλων διὰ τῶν ἐφεξῆς ἁγίων παραπεμφθέντα» (ι).

Ἐπιφάνιος ὁ Κύπρου· «Καὶ ὅροι γὰρ ἐτέθησαν ἡμῖν, καὶ θεμέλιοι, καὶ οἰκοδομὴ τῆς πίστεως, καὶ Ἀποστόλων παραδόσεις, καὶ Γραφαὶ ἅγιαι, καὶ διαδοχαὶ διδασκαλίας, καὶ ἐκ πανταχόθεν ἡ ἀλήθεια τοῦ Θεοῦ ἠσφάλισται, καὶ μηδεὶς ἀπατάσθω καινοῖς μύθοις» (ια) «Δεῖ δὲ καὶ παραδόσει κεχρῆσθαι· οὐ γὰρ πάντα ἀπὸ τῆς θείας Γραφῆς δύναται λαμβάνεσθαι. Διὸ τὰ μὲν ἐν Γραφαῖς, τὰ δὲ ἐν παραδόσει παρέδωκαν οἱ ἅγιοι Ἀπόστολοι· ὥς φησιν ὁ ἅγιος Ἀπόστολος, ὡς παρέδωκα ὑμῖν· καὶ ἄλλοτε· οὕτως διδάσκω, καὶ οὕτως παρέδωκα ἐν ταῖς Ἐκκλησίαις· καὶ, εἰ κατέχετε· ἐκτὸς εἰμὴ εἰκῆ ἐπιστεύσατε» (ιβ).

(α) Τομ. ΛΒ'. 180. (β) ΛΒ'. 180. (γ) ΛΒ'. 200. (δ) ΛΒ'. 217. (ε) τομ. ΛΕ'. 749. (ς) ΛΕ'. 648. (ζ) ΛΕ'. 548. (η) ΛΕ'. 504. (θ) ΛΣ'. 156. (ι) τομ. ΜΕ'. 653. (ια) τομ. ΜΑ'. 977. (ιβ) ΜΑ'. 1048.

«Εἶτα δὲ περὶ τούτου αὖθις ἐπιλήψομαι τῆς ἀκολουθίας, ὅτι ἀναγκαίως ἡ Ἐκκλησία τοῦτο ἐπιτελεῖ, παράδοσιν λαβοῦσα παρὰ Πατέρων. Τίς δὲ δυνήσεται θεσμὸν μητρὸς καταλύειν, ἢ νόμον πατρός; ὡς τὰ παρὰ τῷ Σολομῶντι εἰρημένα· Ἄκουε, υἱὲ, λόγους πατρός σου, καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου· δείξας, ὅτι ἐγγράφως τε καὶ ἀγράφως ἐδίδασκεν ὁ Πατὴρ, τοὐτέστιν ὁ Θεὸς ὁ μονογενὴς, καὶ τὸ ἅγιον Πνεῦμα· ἡ δὲ μήτηρ ἡμῶν Ἐκκλησία εἶχε θεσμοὺς ἐν αὐτῇ κειμένους, ἀλύτους, μὴ δυναμένους καταλυθῆναι» (α).

Ἰωάννης ὁ Χρυσόστομος· «Οὐ πάντα δι' ἐπιστολῆς παρεδίδοσαν οἱ Ἀπόστολοι, ἀλλὰ πολλὰ καὶ ἀγράφως· ὁμοίως δὲ κἀκεῖνα καὶ ταῦτά ἐστιν ἀξιόπιστα» (β).

Διὰ ταῦτα· «Οὐ δεῖ ἀνέχεσθαι ἑτεροδιδασκαλίας, κἂν σχηματίζωνται πρὸς ἀπάτην ἢ ἔλεγχον τῶν ἀβεβαίων» (γ). Οἱ τοιοῦτοι· «Μήτε τῇ θείᾳ Γραφῇ καὶ τοῖς πατράσιν ἑπόμενοι, ἀλλὰ δίκην χειμερίου τῇ φρενίτιδι τῆς ἑαυτῶν προλήψεως ὑποσυρόμενοι εἰς τοσαύτην ἁμαρτίαν ἐκπεπτώκασι. Θεωρῶν γὰρ ἄνδρας μήτε λογισμὸν πεπαιδευμένον ἐκ τῆς θείας Γραφῆς ἐπισταμένους, μεμηκότας καὶ ἐρεσχελοῦντας, μὴ εἰδότας μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται, αὐτὸ τοῦτο δογματίζειν ἀμαθῶς μόνον τολμῶντας, καὶ ἀναθεματίζειν ἅπερ οὐκ ἴσασι» (δ).

Ε.

Ἀξία τῶν θείων ἡμῶν Πατέρων καὶ τῶν συγγραμμάτων αὐτῶν.

Πολλαχῇ δὲ Χριστὸς ἡ Ἐκκλησία παρὰ τοῦ θείου Παύλου τοῦ ἀποστόλου κατονομάζεται. Στύλοι δὲ τῆς Ἐκκλησίας οὐχ εἷς, ἢ δύο, ἢ τρεῖς, ἀλλὰ πάντες οἱ θεῖοι ποιμένες, πατέρες, καὶ διδάσκαλοι, οἱ δι' ἑαυτῶν τὴν Ἐκκλησίαν ἐρείδοντες, καὶ οἱ διὰ τῶν ἰδίων ἔργων φωστῆρες γινόμενοι, καὶ στύλοι καὶ λύχνοι λέγονται, κατὰ τὸν τοῦ Σωτῆρος καὶ Κυρίου ἡμῶν τοῦ θεμελιωτοῦ, ἀρχηγοῦ, καὶ κεφαλῆς αὐτῆς τῆς Ἐκκλησίας, λόγον· «Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου» (ε). Οὗτοί εἰσιν οἱ τῆς εὐσεβείας διδάσκαλοι, οἱ στύλοι καὶ ὄροφοι τῆς πίστεως, οἱ πύργοι οἱ ἀσάλευτοι, οἱ λιμένες οἱ γαληνοφόροι, οἱ πιστοὶ καὶ φρόνιμοι οἰκονόμοι, οἱ σοφοὶ ἀρχιτέκτονες, οἱ τὸν αἰθέριον πλοῦν, καὶ ἰσάγγελον βίον ἐπὶ γῆς διάγοντες, οἱ τῶν προφητῶν σύσκηνοι, καὶ τῶν Ἀποστόλων διάδοχοι καὶ σύνθρονοι, καὶ τῶν ἁγίων Ἐκκλησιῶν προστάται (ς).

Μόνοι οἱ θεῖοι πατέρες καὶ διδάσκαλοι τῆς μιᾶς, ἁγίας, καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας διηρμήνευσαν θεοπρεπῶς, καὶ διέλυσαν τῆς θείας Γραφῆς τὰ δοκοῦντα εἶναι ζητήματα· καὶ τῶν μὲν ἀνέπτυξαν τὸν νοῦν· τῶν δὲ τὰς αἰτίας ἐδήλωσαν· καὶ ἁπαξαπλῶς ἀπέφηναν σαφῆ τὰ τοῖς πολλοῖς οὐ τοιαῦτα φαινόμενα. Οὐχ ἑαυτοῖς δὲ θαῤῥήσαντες, ἀλλὰ τῷ Θεῷ τῷ ταῦθ' οὕτω συγγραφῆναι προστεταχότι. Δι' αὐτοῦ γάρ ἐστιν ἐπιδεῖξαι τὴν ἐν τῷ γράμματι κεκρυμμένην διάνοιαν. Αὐτὸς γὰρ κἂν τοῖς ἱεροῖς εὐαγγελίοις, καὶ παραβολικῶς τὴν διδασκαλίαν προσέφερε· καὶ τῶν αἰνιγματωδῶς εἰρημένων ἐποιεῖτο τὴν ἑρμηνείαν. Αὐτὸς καὶ τοῖς εἰς Ἐμμαοὺς πορευομένοις διηρμήνευε τὰς Γραφὰς, καὶ διήνοιγεν αὐτῶν τὸν νοῦν τοῦ συνιέναι αὐτάς. Παρ' αὐτοῦ τοίνυν καὶ οἱ θεῖοι ἡμῶν πα-

---

(α) Τομ. ΜΒ'. 516. (β) τομ. ΞΒ'. 488. (γ) Βασιλ. ΑΑ'. 760. (δ) Χρυσοστ. ΜΗ'. 945. 947.
(ε) Γρηγορ. Νύσ. ΜΕ'. 385. (ς) Κυρίλ. Ἀλεξανδρ. τομ. ΟΖ'. 1029.

τέρες καὶ διδάσκαλοι τῇ νοερᾷ ἀκτῖνι ἐλλαμφθέντες τῶν τοῦ παναγίου Πνεύματος αὐτῶν ἐπειράθησαν.

Οὕτως οὖν οἱ θεῖοι πατέρες τῆς ἀληθείας ἀκριβεῖς γνώμονες τυγχάνουσι, μόνοι αὐτοὶ ἐν ἀληθεῖ σοφίᾳ καὶ γνώσει διαπρέψαντες καὶ τὰ βάθη τοῦ παναγίου Πνεύματος σοφώτατα ἐκζητήσαντες. Οἱ μὲν γὰρ τούτων τῶν Ἀποστόλων τοῦ Κυρίου ἡμῶν ἄμεσοι ἐγένοντο μαθηταὶ, οἱ δὲ καὶ πᾶσαν ἐξεπαιδεύθησαν σοφίαν, πάντες δ' ὑπὸ τοῦ παναγίου Πνεύματος ἐλλαμφθέντες, ἄδολον ἡμῖν καὶ ἁγνὴν τὴν τοῦ εὐαγγελίου παρέδωκαν διδασκαλίαν. Αὐτοὶ δὲ καὶ πολεμουμένην ἐστήριξαν τὴν Ἐκκλησίαν καὶ ἐκράτυνον· καὶ τὸ κατ' ἀρχὰς διεκόσμησαν ἄριστα ὑπὲρ αὐτῆς ἀπολογηθέντες, καὶ τὴν τῶν ματαίων εἰδώλων λατρείαν, καὶ τὸν παχυλὸν ἰουδαϊσμὸν καὶ τὴν κακόφωνον αἵρεσιν γενναίως ἀντέκρουσαν. Ἀλλὰ καὶ τῆς ἱερᾶς παραδόσεως οἱ ἀκριβέστατοι τυγχάνουσιν μάρτυρες, αὐτοὶ ἀναπτύξαντες ταύτην ἐν τοῖς αὐτῶν συγγράμμασι τελείως καὶ λεπτομερῶς ἥ αἱ σύνοδοι καὶ ἡ τῆς Ἐκκλησίας θεσμοθεσία. Ἐπεὶ δὲ διδασκαλία ἄνευ τῆς ἐμπειρίας τοῦ διδάσκοντος οὐ φέρει, κατὰ τὸν θεῖον Βασίλειον, τὸν δέοντα καρπὸν (α) καὶ γὰρ κἂν τοῖς κατὰ τὸν βίον ἔχουσί τι πλέον οἱ τεχνῖται τῶν ἰδιωτῶν, (β) χρὴ διδάσκεσθαι ἡμᾶς βουλομένους, τοῖς θείοις καταφεύγειν πατράσιν, ὥσπερ ἐμπείροις διδασκάλοις καὶ τεχνίταις καὶ παρὰ τούτων τὰς ὁδηγίας λαμβάνειν. «Ἔστι γὰρ δόκιμον νόμισμα, καὶ ἄλλο κίβδηλον, ὅπερ οὐδὲν ἔλαττον ἀπατᾷ τοὺς ἰδιώτας, οὐ μὴν τοὺς ἀργυραμοιβούς· οἳ ἴσασι μαθόντες τὸ παρακεχαραγμένον καὶ τὸ δόκιμον χωρίζειν καὶ διακρίνειν. Οὕτως ὁ ἀργυραμοιβὸς τῷ ἰδιώτῃ, τὸ νόμισμα τοῦτο μόνον ὅτι κίβδηλόν ἐστι, φησί· τὸ δὲ πῶς, μόνος ὁ τοῦ τραπεζίτου γνώριμος καὶ ὁ ἐπὶ τοῦτο ἀλειφόμενος μανθάνει» (γ).

Ἐκ τούτων οὖν τὸ τῆς ὁδηγίας ὅσον ἐπάναγκες κατιδεῖν ῥάδιον· ἥν περ δὴ καὶ ὁ τῆς βασιλίσσης τῶν Αἰθιόπων εὐνοῦχος ζητήσας τε καὶ τυχὼν, τὴν σωτηρίαν ἀπώνατο. Εἰ μὲν οὖν εἷς καὶ μόνος χειραγωγῶν ἐπήρκεσε πόσῳ γε μᾶλλον οἱ πολλοὶ εἰς ἓν συνελθόντες καὶ χεῖρα πάντες προτεταμμένην ἔχοντες, καὶ οἱ μὲν τὸ γράμμα συμβιβάζοντες, οἱ δὲ τὰ περὶ τὴν ἱστορίαν ἐξυφαίνοντες, οἱ δὲ τῆς ἀναγωγῆς τὸν νοῦν ἀνορύττοντες, οἱ δὲ τὸν ἀλληγορικὸν σκοπὸν ἐμφαίνοντες, καὶ ἄλλοι τὸ τῶν Γραφῶν ἠθικὸν παρατιθέντες μάθημα; Θεῖος ὄντως ὁ τοιός δε σύλλογος καὶ χορὸς οὐράνιος τὸ σωτήριον συνεπᾴδων μελῴδημα.

Ἀλλὰ γὰρ διὰ τὸ τὰς θεοπνεύστους ἐσφραγίσθαι βίβλους, οὐ μόνον ἀσόφοις, ἀλλά γε δὴ καὶ σοφοῖς τὸ ἀναπτύσσειν οὐκ εὐμήχανον. Ἀνοίγει δὲ ἄλλος οὐδεὶς, εἰ μὴ ὁ τὴν κλεῖν ἔχων τοῦ Δαυὶδ, ὁ ἅγιος, ὁ ἀληθινὸς, ὁ μονογενὴς Υἱὸς, ἡ ἐνυπόστατος τοῦ Θεοῦ σοφία καὶ δύναμις. Τότε γάρ φησιν διήνοιγεν αὐτῶν τὸν νοῦν τοῦ συνιέναι τὰς Γραφάς. Τίσι δ' ἄλλοις τόδ' ἡγετέον προσγίνεσθαι, εἰ μὴ μόνοις τοῖς ἑαυτοὺς ὁλοσχερῶς ἐκδεδωκόσιν αὐτῷ, καὶ τοῦτο αὐτοῖς, τὸ συνιέναι σκοπὸν προστησαμένοις, καὶ παρ' αὐτοῦ αἰτησαμένοις τὸ δώρημα; «Ὑμῖν γὰρ, φησὶ, δέδοται γνῶναι τὰ μυστήρια» (δ).

Πνευματικοῦ ἀνδρὸς ἴδιον, κατὰ τὸν Ἀπόστολον, τὸ ἀνακρίνειν τὰ πάντα, καὶ ἀποδέχεσθαι τοὺς παρὰ τῆς θείας χάριτος πλουτισθέντας ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει (ε). Πάντα δὲ δοκιμάζετε, καὶ τὸ καλὸν κατέχετε, τοῖς πνευματικοῖς λέγων, τοῖς ἀνακρίνουσι πάντα κατὰ ἀλήθειαν λεγόμενα, πότερον δοκεῖ, ἢ οὕτως ἔχεται τῆς ἀληθείας. Παιδεία

(α) Βασιλ. τόμ. ΑΙΙ'. 601. (β) Κλημ. Ἀλ. τομ. Θ'. 533. κ. ἑ. (γ) αὐτόθ. τομ. Η'. 945.
(δ) Ματθ. ιγ'. 11. (ε) Γρηγ. Νύσ. ΜΣ'. 172.

δὲ ἀνεξέλεγκτος πλανᾶται· καὶ αἱ πληγαὶ καὶ οἱ ἔλεγχοι διδόασι παιδείαν σοφίας, οἱ μετ' ἀγάπης δηλονότι ἔλεγχοι. Καρδία γὰρ εὐθεῖα ἐκζητεῖ γνῶσιν· ὅτι ὁ ζητῶν τὸν Θεὸν εὑρήσει γνῶσιν μετὰ δικαιοσύνης· οἱ δὲ ζητήσαντες αὐτὴν εἰρήνην εὗρον. (α) Οὗτος ἐκκλησιαστικὸς κανών. Οὕτω πιστεύομεν. Καὶ οὕτως ἀποδεχόμεθα τοὺς ἁγίους ἡμῶν Πατέρας καὶ διδασκάλους, καὶ τὰ τούτων συγγράμματα.

Πέτρος ὁ θεσπέσιος ἀπόστολος παραγγέλλει πᾶσι τοῖς εἰς Χριστὸν πιστεύουσι λέγων· «Ἕτοιμοι δὲ ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος, μετὰ πραΰτητος καὶ φόβου· συνείδησιν ἔχοντες ἀγαθὴν, ἵνα ἐν ᾧ καταλαλῶσιν ὑμῶν ὡς κακοποιῶν, καταισχυνθῶσιν οἱ ἐπηρεάζοντες ὑμῶν τὴν ἀγαθὴν ἐν Χριστῷ ἀναστροφήν.» (β) Τὸ ἀποστολικὸν παράγγελμα ἔχοντες ὑπ' ὄψιν οἱ θεῖοι ἡμῶν Πατέρες διεξῆλθον καὶ διέλυσαν ὡς ἱστὸν ἀράχνης τὰ κατηγορήματα· ἀνόσιον δὲ ᾠήθησαν καὶ δυσσεβὲς παριδεῖν τοὺς ἁπλοῖς ἤθεσι κεχρημένους ὑπὸ τῶν κατηγόρων τῆς ἡμετέρας πίστεως ἀπατωμένους καὶ μὴ συγγράψαι καὶ διελέγξαι τῶν κατηγορημάτων τὸ μάταιον. (γ)

Εἴρηται, ὅτι οἱ θεῖοι ἡμῶν Πατέρες καὶ διδάσκαλοί εἰσιν οἱ ἀκριβεῖς γνώμονες, οἱ ἄριστοι ἀπολογηταὶ, καὶ ἀλάνθαστοι ἑρμηνευταὶ τῶν θείων Γραφῶν, ὡς οὕτω πιστευόμενοι ὑπὸ τῆς μιᾶς, ἁγίας, καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, τῆς ἀρχαιοτάτης καὶ πασῶν προγενεστάτης· ὅτι ἔχουσί τι πλέον, ὡς τεχνῖται, τῶν ἰδιωτῶν· ὅτι εἰσὶν ἀργυραμοιβοὶ χωρίζοντες καὶ διακρίνοντες τό τε παρακεχαραγμένον καὶ τὸ δόκιμον· ὅτι ὡς ἄμεσοι τῶν Ἀποστόλων διάδοχοι κατ'ἀλληλουχίαν, καὶ ἄμεσοι ἡμῶν πρόγονοί, εἰσι παντὶ σοφῷ ἀνεξαιρέτως μεταλεῖα χρυσοῦ πολύτιμα πάσης θείας καὶ ἀνθρωπίνης σοφίας καὶ γνώσεως, ὅσῳ μᾶλλον ἀνορυττόμενα, τόσῳ πλείονα καὶ ἄφθονον δεικνύοντα τὸν θησαυρόν.

«Τὰ φρέατα ἐξαντλούμενα, διειδέστερον ὕδωρ ἀναδίδωσι· τρέπεται δὲ εἰς φθορὰν, ὧν μεταλαμβάνει οὐδείς. Καὶ τὸν σίδηρον ἡ χρῆσις καθαρώτερον φυλάσσει· ἡ δὲ ἀχρηστία, ἰοῦ τούτῳ γεννητική. Συνελόντι γὰρ φάναι ἡ συγγυμνασία ἕξιν ἐμποιεῖ ὑγιεινὴν καὶ πνεύμασι καὶ σώμασιν. Οὐδεὶς ἅπτει λύχνον καὶ ὑπὸ τὸν μόδιον τίθησιν, ἀλλ' ἐπὶ τῆς λυχνίας, φαίνειν τοῖς τῆς ἑστιάσεως τῆς αὐτῆς κατηξιωμένοις. Τί γὰρ ὄφελος σοφίας μὴ σοφιζούσης τὸν οἷόν τε ἐπαίειν;» (δ) Οὗτοί εἰσι τὰ πολύτιμα ταμεῖα τῆς ἁγίας ἡμῶν καὶ ἀμωμήτου πίστεως, ἥτις ἐστὶ τὸ πρῶτον θεμέλιον καὶ τὸ τελευταῖον τέρμα τοῦ ἀνθρωπίνου βίου, καὶ ἡ προσδοκία τῶν ἐπηγγελμένων ἀγαθῶν καὶ τῆς ἀθανασίας. Εἰσὶν οἱ μόνοι ἀσφαλεῖς διδάσκαλοι καὶ τὰ πρότυπα τῆς τῶν ἠθῶν διαπλάσεως καὶ τοῦ κατ' ἀρετὴν βίου, ἄνευ κολακείας, ἄνευ ἰδιοτελείας, ἀλλὰ φιλόστοργοι μετὰ παῤῥησίας, καὶ ζήλου κατ' ἐπίγνωσιν, δι' ὧν τὰ ἔθνη προάγονται, καὶ εὐημεροῦσιν αἱ κοινωνίαι. Οἱ μόνοι ὁδηγοὶ, οἷς ἐμπιστευθῆναι δυνάμεθα τὴν, πρὸς ὃ τείνομεν τέλειον ἀγαθὸν, ὁδηγίαν· καὶ, ὥσπερ διὰ δοκίμων τραπεζιτῶν, διακρίνομεν τὸ ἀληθὲς τοῦ φαινομένου, τὴν ἀλήθειαν τῆς καθολικῆς ὁμολογίας, τῶν ὑστέρων καὶ ἐπεισάκτων, κατὰ τὸ δοκοῦν, αἱρέσεων, βαδίζομεν ἐν τῷ μέσῳ τῆς ἀληθείας καὶ τοῦ φωτὸς, μὴ ἐκκλίνοντες δεξιὰ ἢ ἀριστερὰ, πρὸς ὃ ἐκ φόβου μὴ προσρήξωμεν. Ἐπειδὴ δὲ, ὥσπερ τῷ σίτῳ συναναφύονται τὰ ζιζάνια, καὶ τοῖς ῥόδοις συνανατέλουσιν αἱ ἄκανθαι, οὕτω καὶ τοῖς γνησίοις τῶν ἱερῶν βιβλίων νόθοι συναναφαίνονται, ἵνα μή, φησί, τὸν νοῦν παρακλαπῇς, καὶ ἀνθέξῃ τῶν ξένων ὡς ἡμετέ-

---

(α) Κλήμ. Ἀλεξ. τομ. Η'. 752. (β) Α'. Πετρ. γ'. 15. (γ) Βλέπ. Θεοδωρ. ἑλληνικῶν θεραπευτικὴ παθημάτων ἤτοι Εὐαγγελικῆς ἀληθείας ἐξ ἑλληνικῆς φιλοσοφίας ἐπίγνωσις· τομ. ΠΓ'. 784

(δ) Κλημ. Ἀλεξ. τομ. Η'. 701.

ρων, τὸν ἔγκριτον ἀριθμὸν, ὦ φίλος, ἐξ ἐμοῦ μάνθανε, καὶ τοῦτον δεχόμενος, καὶ ὡς οἰκεῖον περιέπων, ἀποποιοῦ τὸ ἀλλότριον. (α)

Οἱ θεῖοι Πατέρες εἰσὶν ἀκεσώδυνοι ἡμῶν ἰατροὶ διὰ τῶν φαρμάκων τῆς θεοπνεύστου Γραφῆς. Ἀλλὰ δεῖ τὸν προσιόντα τῇ θείᾳ Γραφῇ, μὴ ὡς ἀνθρώπων εἰπόντων, ἀλλ' ὡς Θεοῦ δι' αὐτῶν φθεγξαμένου, τῶν εἰρημένων ἀκούειν. Οὐκοῦν Θεοῦ τὰ λόγια, παρ' ᾧ ψεῦδος οὐδὲν ἢ ἄλογον. Καὶ δεῖ, ὅσα μὲν εὐσεβῶς δυνήσῃ νοῆσαι, κρατεῖν· εἰ δὲ τί σου παρατρέχει τὴν δύναμιν, ἢ Πατέρων μαθεῖν, ἢ τῷ Θεῷ παραπέμπειν τῶν γνώσεων, ὃς διδάσκει ἄνθρωπον γνῶσιν (β). Εἷς γαρ ὁ διδάσκαλος καὶ τοῦ λέγοντος, καὶ τοῦ ἀκουομένου, ὁ ἐπιπηγάζων καὶ τὸν νοῦν καὶ τὸν λόγον (γ).

Ἰατρικὴ θεραπεία ἔστι μέν που καὶ σώματος, ἔστι δ' ἄρα καὶ ψυχῆς· καὶ γὰρ δὴ καὶ ταύτῃ κἀκείνῳ συχνὰ προσγίνεται πάθη· ἀλλὰ τῷ μὲν, ἀκούσια· τῇ δὲ, ὡς ἐπίπαν, αὐθαίρετα. Τοῦτο οὖν εἰδὼς, οἷα δὴ πάνσοφος, ὁ Θεὸς, καὶ ψυχῶν καὶ σωμάτων καὶ τῶν ὅλων δημιουργὸς, ἑκατέρᾳ φύσει ἀπένειμεν ἁρμόδια φάρμακα· καὶ μέντοι καὶ ἰατροὺς ἐπέστησε, τοὺς μὲν ταύτην, τοὺς δὲ ἐκείνην ἐκπαιδεύσας τὴν ἐπιστήμην, καὶ στρατηγεῖν καὶ ἀριστεύειν κατὰ τῶν νοσημάτων ἐκέλευσεν. Ἀλλ' οἱ μὲν τὸ σῶμα οὐκ εὖ διακείμενοι, καὶ τὴν νόσον δυσχεραίνουσι, καὶ τῆς ὑγιείας ἱμείρονται, καὶ τοῖς ἰατροῖς εἴκουσιν, οὐ μόνον ἥπια προσφέρουσι φάρμακα, ἀλλὰ κἂν τέμνωσι, κἂν καίωσι, κἂν λιμώττειν κελεύωσι, κἂν πικρῶν τινων καὶ ἀηδῶν μεστὰς προσφέρωσι κύλικας· καὶ διὰ τοιαύτης ἀνιαρᾶς ἐπιμελείας τὴν ὑγιείαν καρπούμενοι, μισθὸν τοῖς οὕτως ἀκουομένοις ὀρέγουσι, καὶ τὴν θεραπείαν δεχόμενοι τὴν τῶν φαρμάκων οὐ περιεργάζονται σκευασίαν· τὴν γάρ τοι σωτηρίαν ποθοῦσιν, οὐ τὸν ταύτης τρόπον ἀνερευνῶσιν. Οἱ δὲ τῆς ἀπιστίας τὴν λώβην εἰσδεδεγμένοι, οὐ μόνον ἀγνοοῦσιν τὴν παγχάλεπον νόσον, ἀλλὰ καὶ τῆς ἄκρας εὐκληρίας ἀπολαύειν ὑπολαμβάνουσιν. Ἢν δέ τις τῶν ταῦτα θεραπεύειν ἐπισταμένων ἀλεξίκακον φάρμακον τῷ πάθει προσενεγκεῖν ἐθελήσῃ, ἀποπηδῶσιν αὐτίκα· καθάπερ οἱ φρενίτιδι κατεχόμενοι νόσῳ, καὶ τὴν σφίσι προσφερομένην ἀποσείονται θεραπείαν, καὶ τὴν ἰατρείαν ὡς ἀῤῥωστίαν ἀποδιδράσκουσι. Χρὴ μέντοι τοὺς ταύτην μετιόντας τὴν ἐπιστήμην, καὶ χαλεπαίνοντας φέρειν, καὶ λοιδορουμένων ἀνέχεσθαι, κἂν πῦξ παίωσι, κἂν λακτίζωσι· τοιαῦτα γὰρ δὴ ἄττα πλημμελοῦσιν οἱ παραπαίοντες. Καὶ οὐ δυσχεραίνουσι τούτων γινομένων οἱ ἰατροὶ, ἀλλὰ καὶ δεσμὰ προσφέρουσι, καὶ καταιονῶσι βίᾳ τὰς κεφαλὰς, καὶ πᾶσαν μηχανὴν ἐπινοοῦσιν ὥστε τὸ πάθος ἐξελάσαι, καὶ τὴν προτέραν τῶν μορίων ἁρμονίαν ἀποδοῦναι τῷ ὅλῳ. Τοῦτο δὴ καὶ ἡμῖν ποιητέον, καὶ τῶν οὕτω διακειμένων ἐπιμελητέον εἰς δύναμιν. Εἰ γὰρ καὶ ὀλίγοι λίαν εἰσὶν οἱ τῷ πάθει δεδουλωμένοι, καὶ ἐοίκασιν ὑποστάθμῃ τινὶ παχείᾳ τῶν τοῦ διυλιστῆρος οὐ διικνουμένῃ πόρων διὰ παχύτητα· ἀλλ' οὖν οὐκ ἀμελητέον αὐτῶν, οὐδὲ παροπτέον φθειρομένους ὑπὸ τοῦ πάθους, ἀλλὰ πάντα πόρον ἐξευρετέον, ὥστε τὴν ἐπικειμένην αὐτοῖς ὁμίχλην ἀποσκεδάσαι, καὶ τοῦ νοεροῦ φωτὸς ἐπιδεῖξαι τὴν αἴγλην. Οὐδεὶς γὰρ φιλόπονος γεωργὸς τὰς μὲν πολλὰς ἀκάνθας ἐκτέμνει, τὰς δὲ ὀλίγας ἐᾷ· ἀλλὰ κἂν δύο εὕρῃ, κἂν μίαν, πρόῤῥιζον ἀνασπᾷ, καὶ καθαρὸν ἀποφαίνει τὸ λήϊον. Πολλῷ δὴ οὖν μᾶλλον τοῦτο ποιητέον ἡμῖν. Οὐ γὰρ ἐκτέμνειν, ἀλλὰ μεταβάλλειν τὰς ἀκάνθας, ὁ τῆς ἡμετέρας γεωργίας παρακελεύεται νόμος. Φέρε τοίνυν καὶ ὡς ἀκάνθαις τὴν γεωργικὴν προσενέγκωμεν δίκελλαν, καὶ τῇ μακέλλῃ

(α) Ἀνώνυμ. τομ. ΑΗ'. 844. (β) Προκοπ. Γαζ. τομ. ΠΖ'. μέρ. α'. 24.
(γ) Κλημ. Ἀλεξ. τομ. Η'. 701.

τοῦ λόγου τὰς κεχερσωμένας τῶν ἀκοῶν ἀνευρύνωμεν αὔλακας, ἵνα μηδὲν τῶν ἐν μέσῳ κειμένων κωλυμάτων ἐπίσχῃ τῆς ἀρδείας τὸ ῥεῖθρον· καὶ μὲν δὴ καὶ ὡς ἀῤῥωστοῦντας καταιονήσωμεν, καὶ τὰ σωτήρια καὶ παιώνια προσενέγκωμεν φάρμακα (α).

Ὥσπερ οὖν οἱ τῶν ἰατρῶν παῖδες χειρουργεῖν τινα μέλλοντες, πάθει δεινῷ συνεχόμενον, οὐκ εὐθὺς ξυρὸν καὶ καυστῆρας καὶ ἔμπλαστρα ἐπάγουσιν· εἰ μὴ σκέψωνται ὅθεν ἔσχε τὸ πάθος τὰς ἀρχάς· τούτου δὲ ἐγνωσμένου, βοηθήμασι χρῶνται, καταποτίοις, φλεβοτομίαις, λουτροῖς, διαίταις· καὶ οὕτω τοῦ πλεονάζοντος χυμοῦ συσταλέντος, λοιπὸν καὶ τοῖς ἀπουλωτικοῖς χρῶνται φαρμάκοις εἰς ἴασιν· οὕτω καὶ ἡμῖν ποιητέον· ὁρῶν γὰρ πολλοὺς διαφόροις ἀτοπίαις περιπεσόντας, οἷον ἀσεβείαις, ἀνομίαις, ἀδικίαις, ἀταξίαις, καὶ τοῖς τοιούτοις, οὐκ ἐβουλήθην τέως περὶ ἑνὸς ἑκάστου ἐπάγειν τὸν ἔλεγχον, μήπως εἰς κενὸν διαχέω τοὺς λόγους· τῆς πρωταιτίου ἁμαρτίας δίκην τῆς μυθικῆς Ὕδρας ἑτέρας ἀναφυούσης κεφαλάς· ἀλλ' ἐξαγγεῖλαι ὅθεν ὁ ἐσμὸς τῶν κακῶν· τοῦτο δ' ἀποδεχθέντος, πρὸς ὧτα δοκῶ λέγειν ἀκουόντων.

Ἀλλὰ τίς ἡ αἰτία τῆς διαμαρτίας τοῦ καλοῦ; πολλαὶ μὲν καὶ διάφοροι· μία δὲ πάντων μήτηρ, ἡ ἄγνοια μετὰ οἰήσεως· αὐτῆς γὰρ κατακρατούσης ἐν τῇ ψυχῇ, οὐδὲν ἂν γένοιτό ποτε ἀγαθὸν ἐν αὐτῇ· ὅτι τὸ οἴεσθαι εἰδέναι, αἴτιον καθέστηκε τοῦ μὴ εἰδέναι· οὐδὲν δ' οὕτως εὐκολώτατόν ἐστιν, ὡς τὸ ἀπατᾷν ἑαυτόν. Ἡ ἄγνοια μετὰ οἰήσεως, σκότος ἐστὶ νοητόν· ἧς ἐναντίον ἡ γνῶσις φῶς ἐστι· θεῖον δῶρον τοῖς εὐγνώμοσι. Γνῶσιν δὲ τὴν ἀληθῆ λέγω, οὐ τὴν ψευδώνυμον καὶ φυσιοῦσαν. Αὕτη γάρ ἐστιν ὅτ' ἐν πολλοῖς ἁμαρτάνουσα· καὶ εἴδωλον φαίη ἄν τις εἶναι ταύτην τῆς ἀληθοῦς καὶ μὴ διαπιπτούσης, καὶ οἷον θεραπαινίδα· ἔστι δ' ἀληθὴς γνῶσις, ἡ διὰ τῶν ἁγίων Γραφῶν χορηγουμένη τοῖς ὁλοψύχως, καὶ μετὰ θείου φόβου ἐν εἰλικρινεῖ διανοίᾳ, μὴ μέντοι πειραστικῶς, μηδὲ ἐμπαθῶς τε καὶ κακοήθως ἐρευνῶσιν αὐτάς· αὗται γὰρ εἰς βοήθειαν ἐδόθησαν τοῖς ἀνθρώποις. Διὰ τούτων Ἀποστόλων κήρυγμα καὶ μαρτύρων· διὰ τούτων θεσπεσίων Πατέρων σύνοδοι· διὰ τούτων εὐσεβὴς πολιτεία καὶ εὐνομία. Ὄντως ἡ τούτων γνῶσις ζωή· θάνατος δὲ ἡ ἄγνοια.

Ἀλλ' οἱ δοκησίσοφοι καὶ φιλόνεικοι διωθοῦνται πολλάκις καὶ τὰς χρηστὰς διανοίας, καὶ κρίνουσι καλὸν καὶ χρήσιμον οὐ τὸ πᾶσι τοῖς ἄλλοις δοκοῦν, κἂν λυσιτελὲς ᾖ. Τὸ δὲ αἴτιον ἄνοια καὶ σκαιότης τρόπων, οὐ προσέχουσα ταῖς παρ' ἄλλων συμβουλίαις, μόναις δὲ πιστεύουσα γνώμαις οἰκείαις καὶ τοῖς ὑποπίπτουσι λογισμοῖς. Ὑποπίπτουσι δὲ οἷς χαίρουσι· χαίρουσι δὲ οἷς βούλονται. Ὁ δὲ ἃ βούλεται νομίζων λυσιτελῆ, οὐκ ἔστιν ἀσφαλὴς τοῦ δικαίου κριτής, ἀλλ' ἔοικε τυφλοῖς ὑπὸ τυφλῶν ὁδηγουμένοις (β). Ἐπεὶ τοίνυν τινὲς, μᾶλλον δὲ καὶ πολλοὶ, οἱ μήπω μαθηταὶ γενόμενοι ἐκ προπετείας ἐπὶ τὸ διδάσκειν ἐληλύθεισαν οὐκ εἰδότες, οὔτε ἃ λέγουσιν, οὔτε περὶ τίνων διαβεβαιοῦνται, τυφλώττοντες τοὺς τῆς διανοίας ὀφθαλμοὺς, καὶ διαμεμενηκότες ἐν πλάνῃ, οὔτε διδάσκειν ὀρθῶς, οὔτε διδάσκεσθαι βούλονται (γ).

Ἡ τῶν χριστιανῶν πίστις ἡ εἰς πάντα τὰ ἔθνη κατὰ τὸ πρόσταγμα τοῦ Κυρίου παρὰ τῶν μαθητῶν κηρυχθεῖσα οὔτε ἐξ ἀνθρώπων ἐστὶν, οὔτε δι' ἀνθρώπων, ἀλλὰ δι' αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὅς ἐστιν ἡ αὐτοαλήθεια. Τὸ γαρ ψεῦδος μυρίας ἐκτροπὰς ἔχει. Οὐκοῦν ἡ θεόπνευστος ἡμῖν διαιτησάτω Γραφή· καὶ παρ' οἷς ἂν εὑρεθῇ τὰ

(α) Θεοδώρ. τομ. ΠΓ'. 789—792. (β) Βασιλ. τομ. ΛΒ'. 1056.
(γ) Ἀθαν. Ἀλεξ. τομ. ΚΣ'. 1276.

δόγματα συνῳδὰ τοῖς θείοις λόγοις, ἐπὶ τούτοις ἥξει πάντως τῆς ἀληθείας ἡ ψῆφος (α). Οἱ τῆς ἀληθείας ὀλίγα φροντίζοντες, τῷ κομψῷ τῶν πλασμάτων καὶ τῷ λίχνῳ τῶν λέξεων καὶ ἀκοὴν καὶ ψυχὴν γοητεύουσιν· ἡμεῖς δὲ, οἱ καὶ μέχρι τῆς τυχούσης κεραίας καὶ γραμμῆς τοῦ πνεύματος τὴν ἀκρίβειαν ἕλκοντες, οὔπωτε δεξόμεθα, οὐ γὰρ ὅσιον, οὐδὲ τὰς ἐλαχίστας πράξεις εἰκῆ σπουδασθῆναι τοῖς ἀναγράψασι, καὶ μέχρι τοῦ παρόντος μνήμη διασωθῆναι· ἀλλ' ἵν' ἡμεῖς ἔχωμεν ὑπομνήματα καὶ παιδεύματα τῆς τῶν ὁμοίων, εἴ ποτε συμπέσοι καιρὸς διασκέψεως· ὥστε τὰ μὲν φεύγειν, τὰ δὲ αἱρεῖσθαι, οἷον κανόσι τισὶ καὶ τύποις, τοῖς προλαβοῦσιν ἑπόμενοι παραδείγμασι (β).

Ἐπεὶ δὲ διδασκαλία διὰ τῶν ἔργων κρείττων τῆς διὰ λόγου διδασκαλίας, φεύγειν χρὴ διδασκάλους καὶ διδασκαλίαν ἐπὶ πονηρᾷ χρήσει τῆς παιδεύσεως· καὶ ὅτι οὐ δεῖ τοῖς ἀλλοτρίοις τῆς τοῦ Κυρίου διδασκαλίας ἐξομοιοῦσθαι (γ). Ἰστέον, λέγει ὁ ἱερὸς Θεοδώρητος, πρὸ τῶν ἄλλων ἁπάντων, ὅτι, (οἱ δοκησίσοφοι καὶ φιλόνεικοι) οὐχ ἅπαντες σύμφωνον ἔχουσι τῆς ἐρωτήσεως τὸν σκοπόν. Ἀλλ' οἱ μὲν δυσσεβῶς ἐρωτῶσι, διελέγχειν οἰόμενοι τὴν θείαν Γραφήν· νῦν μὲν, ὡς οὐκ ὀρθὰ παιδεύουσαν· νῦν δὲ, ὡς ἐναντία διδάσκουσαν. Οἱ δὲ φιλομαθῶς ζητοῦσι, καὶ ποθοῦσιν εὑρεῖν τὸ ζητούμενον. Κἀκείνων τοίνυν ἐμφράξομεν, σὺν Θεῷ φάναι, τὰ βλάσφημα στόματα, τῆς θείας ἐπιδεικνῦντες Γραφῆς καὶ τὴν συμφωνίαν, καὶ τὴν ἀρίστην διδασκαλίαν· καὶ τούτοις ὡς οἷόν τε τῶν ἐπαπορουμένων τὴν λύσιν προσοίσομεν (δ).

Ἐνεφιλοχώρησε δέ τις πολλοῖς στρεβλὴ ἰδέα καὶ ἀπείροις τοῖς πολλοῖς ὀλεθρία εἰσήγησις, ὅτι δῆθεν οἱ θεῖοι ἡμῶν Πατέρες καὶ Διδάσκαλοι τῆς Ἐκκλησίας περὶ τὰ ἐκκλησιαστικὰ καὶ θρησκευτικὰ μόνον ἐνησχόληνται, καὶ τούτου ἕνεκα, μόνοις τοῖς κληρικοῖς καὶ τοῖς περὶ τὴν θεολογίαν ἀσχολουμένοις χρησιμεῦσαι δύνανται τὰ συγγράμματα αὐτῶν. Ὦ πλάνη! ὦ μεγίστη ζημία τοῖς πεπλανημένοις ἐξ ἀνοίας, ἀγνοίας, ἢ διαστροφῆς! Οἱ Πατέρες ἡμῶν καὶ Διδάσκαλοι, πρὶν ἢ συγγράψαι τὰ περὶ θρησκείας καὶ Ἐκκλησίας ἱερὰ αὐτῶν συγγράμματα, ἦσαν φιλόσοφοι, φυσιολόγοι, ἰατροὶ, ἱστορικοὶ, νομικοὶ, ῥήτορες, ἀρχαιολόγοι, ἀστρονόμοι, ποιηταί. Οὐκ ἐδίδαξαν λοιπὸν θρησκευτικὰ καὶ ἐκκλησιαστικὰ μόνον, κατὰ τὴν στρεβλὴν τῶν πολλῶν ἰδέαν, ἀλλὰ μελετήσαντες πᾶσαν τὴν τῶν ἀρχαίων σοφίαν καὶ τέχνην ἐνέκλεισαν αὐτὴν ἐν τοῖς ἑαυτῶν συγγράμμασιν· ἐν αὐτοῖς κεῖται ἡ ἀρχαία φιλοσοφία, ἡ ἱστορία, ἡ νομικὴ, ἡ μυθολογία, ἡ ῥητορικὴ τέχνη εἰς ἑξαίσιον κεκαλλιεργημένη βαθμὸν, ἡ ποίησις, καὶ ἐν γένει πᾶσα ἡ ἀρχαία καὶ σύγχρονος γνῶσις τῆς ἀστρονομίας, τῆς φυσιολογίας, τῆς ζωολογίας, καὶ τῆς ἰατρικῆς. Οὐδεὶς βεβαίως μελετήσας ἀμφισβητεῖν δύναται τὴν ῥητορικὴν τῶν Πατέρων δεινότητα, τὸ ὕψος τῶν ἐννοιῶν, τὸ βάθος τῆς φιλοσοφίας, τὸν μέγαν πλοῦτον τῶν γνώσεων. Τούτους οὐ μόνον οἱ νεώτεροι, ἀλλὰ καὶ αὐτοὶ οἱ σύγχρονοι αὐτοῖς ἐθνικοὶ ἐθαύμασαν. Ὁ δεινὸς σοφιστὴς Λιβάνιος ἔλεγέ που περὶ τοῦ Μ. Βασιλείου, ὅτι «τὴν Πλάτωνος σοφίαν καὶ τὴν Δημοσθένους δεινότητα τῇ περὶ τοὺς λόγους εὐμαθείᾳ δείξει θρυλλουμένας μάτην.» Ἐρωτηθεὶς δὲ, τίνα καταλείπει διάδοχον; ἀπεφήνατο, Ἰωάννην (τὸν Χρυσόστομον), εἰ μὴ Χριστιανὸς ἦν. Οἱ θεῖοι ἡμῶν Πατέρες, ἐκτὸς τούτου, εἰσὶ, καὶ περὶ τούτου μόνος ὁ ἀμαθὴς καὶ ἐπιπόλαιος ἀμφιβάλλειν δύναται, γέφυρα, δι' ἧς μεταβαίνομεν εἰς τοὺς ἀρχαίους ἡμῶν προγόνους, καὶ κατὰ φυσικὸν λόγον οὐ δυνάμεθα ὑπερπηδῆσαι αὐτοὺς, ὅπως μεταβῶμεν εἰς ἐκείνους. Πάντα τὸν

(α) Βασιλ. τόμ. ΛΒ'. 688. (β) Γρηγ. Ναζ. τομ. ΛΕ'. 504. 505.

(γ) Γρηγ. Νύσ. τόμ. ΜΔ'. 332. Βασιλ. τομ. ΛΑ'. 745. κ. ἑ. (δ) Θεοδώρητ. τομ. Π'. 76.

ἀρχαῖον κόσμον, καὶ τὴν ἀρχαίαν γνῶσιν ἐν τοῖς Πατράσιν ἐνιδεῖν δυνάμεθα, καὶ διὰ τῶν συγγραμμάτων αὐτῶν σπουδάσαι αὐτόν. Ὁ δὲ περὶ τούτου ἤτοι ἀγνοῶν, ἢ ἀμφιβάλλων προσδραμέτω εἰς τὰ συγγράμματα τῶν, Ἰουστίνου, Εἰρηναίου, Κλήμεντος, Ὠριγένους, Εὐσεβίου, Ἀθανασίου, Βασιλείου, Γρηγορίων, Κυρίλλων, Ἐπιφανίου, Χρυσοστόμου, Θεοδωρήτου, Ἰσιδώρου τοῦ Πηλουσιώτου, Μαξίμου, Δαμασκηνοῦ Ἰωάννου, Φωτίου, Εὐσταθίου Θεσσαλονίκης, κτλ. κτλ. καὶ λήψεται ἀκριβῆ τῶν λεγομένων γνῶσιν· ἡ δὲ ἀνὰ χεῖρας Κλεὶς τῆς Πατρολογίας μάρτυς τῶν εἰρημένων ἀρίδηλος.

ΣΓ'.

Ὀλίγα τινὰ περὶ Πατρολογίας.

«Ὑπὸ τὸ ὄνομα Πατρολογία ἐννοοῦσιν οἱ καθ'ἡμᾶς Θεολόγοι τὴν ἔκθεσιν τοῦ βίου, τῆς διδασκαλίας καὶ τῶν συγγραμμάτων τῶν ἱερῶν ἐκείνων ποιμένων, οἵτινες τὸ μὲν διὰ τῆς θερμῆς αὐτῶν πίστεως καὶ τῆς καθ'ἅπαντα τὸν βίον αὐτῶν ἀμέμπτου πολιτείας, τὸ δὲ διὰ τοῦ λόγου καὶ τῶν συγγραμμάτων αὐτῶν προήγαγον τὴν Ἐκκλησίαν, καὶ οἵτινες διὰ τοῦτο καλοῦνται Πατέρες τῆς Ἐκκλησίας. Ἐντεῦθεν δῆλον, ὅτι ἡ Πατρολογία περιέχει τρία ἰδιαίτερα μέρη τῆς Ἐκκλησιαστικῆς ἱστορίας, δυνάμενα ἀποβῆναι ἕκαστον ἰδίας πραγματείας ὑπόθεσις. Οὕτω π. χ. οἱ μὲν βίοι τῶν καθ' ἕκαστον Πατέρων δύνανται ἐκτεθεῖναι ἐν εἴδει μονογραφιῶν, ἡ δὲ διδασκαλία αὐτῶν δύναται ἀποτελεῖν μέρος τῆς τῶν δογμάτων ἱστορίας, ἡ δὲ περὶ τῶν συγγραμμάτων αὐτῶν θεωρία τὴν λεγομένην ἐκκλησιαστικὴν φιλολογίαν. Οὕτως ἄρα κατὰ τὴν ἐξωτερικὴν μορφὴν ἡ Πατρολογία ἀνήκει εἰς τὸν ἀριθμὸν τῶν ἱστορικῶν ἐπιστημῶν, καὶ ἰδίως ὁμοιάζει τῇ ἱστορίᾳ τῆς φιλοσοφίας καὶ τῇ τῆς φιλολογίας, ἀλλ' οὐσιωδῶς οὐδὲν ἔχει πρὸς αὐτὰς κοινόν· διότι αὗται μὲν ἐξετάζουσι τὴν βαθμιαίαν κίνησιν τοῦ ἀνθρωπίνου νοῦ, ἢ τὴν ἀνάπτυξιν τῆς τέχνης καὶ σπουδάζουσιν ἀποκαλύψαι ἐν πάσῃ ἐποχῇ καὶ δὴ καὶ ἐν ἑκάστῳ συγγραφεῖ νέας τινὰς ἰδέας· ἡ δὲ Πατρολογία τοὐναντίον ζητεῖ τὴν ἑνότητα καὶ συμφωνίαν τῶν ὑπ' αὐτῆς ἐξεταζομένων συγγραφέων. — Ἐν τῷ κηρύγματι τοιαύτης διδασκαλίας, ἥτις ἐκ τῆς ἀρχῆς αὐτῆς ἐστι θεία, καὶ ἐντεῦθεν τελεία οὐκ ἔστιν ἀφελεῖν ἢ προσθεῖναί τι (α).

Ἐν ταῖς σελίσιν αὐτῆς οὐκ ἔστιν ἰδεῖν σπουδαίας ἐπιστημονικὰς ἀνακαλύψεις, ἢ ἰσχυρὰς λαμπηδόνας δημιουργικοῦ πνεύματος· διότι κύριον τῶν Πατέρων μέλημα ἦν οὐχὶ συντιθέναι ἢ ἐπινοεῖν τι ἀνήκουστον, ἀλλὰ μόνον τηρεῖν, ἑρμηνεύειν, κηρύττειν καὶ κρατύνειν τὸ ὑπὸ τοῦ Πνεύματος τοῦ Θεοῦ ῥηθέν. Ἐν τῷ συμπεράσματι τῶν ἐρευνῶν αὐτῆς ἡ Πατρολογία οὐδὲν ἄλλο πλέον δύναται εἰπεῖν ἐν πεποιθήσει καθόλου περὶ τῶν πονημάτων τῶν θεοφόρων Πατέρων, ἢ τὸ ῥηθὲν περὶ τοῦ μεγίστου τῆς Ἐκκλησίας φωστῆρος Βασιλείου τοῦ μεγάλου παρὰ τοῦ ὁμαίμονος καὶ ὁμοτρόπου αὐτοῦ αὐταδέλφου Γρηγορίου τοῦ Νύσσης ἐν ἀρχῇ τῆς εἰς τὴν ἑξαήμερον θαυμαστῆς αὐτοῦ ἑρμηνείας· «Ὃν γὰρ ἔχει λόγον πρὸς τὸν κόκκον ὁ ἄσταχυς, καὶ ἐξ ἐκείνου ὤν, κἀκεῖνο μὴ ὤν, μᾶλλον δὲ ἐκεῖνο μὲν ὢν τῇ δυνάμει, παρηλλαγμένος δὲ μεγέθει, καὶ κάλλει καὶ ποικιλίᾳ καὶ σχήματι· τὸν αὐτὸν εἴποι τις ἂν ἐπέχειν λόγον, πρὸς τὴν τοῦ μεγάλου Μωϋσέως φωνὴν, τὰ παρὰ τοῦ μεγάλου Βασιλείου διὰ φιλοπονωτέρας θεωρίας ἐξεργασθέντα νοήματα· ἃ

(α) Ἀποκαλ. ΚΒ'. 19.

γὰρ ἐκεῖνος εἶπεν ἐν ὀλίγοις τε καὶ εὐπεριγράπτοις τοῖς ῥήμασι, ταῦτα διὰ τῆς ὑψηλῆς φιλοσοφίας ὁ διδάσκαλος ἡμῶν αὐξήσας, οὐχὶ ἄσταχυν, ἀλλὰ δένδρον ἐποίησε κατὰ τὸν ὁμοιωθέντα τῇ Βασιλείᾳ τοῦ σινάπεως κόκκον, τὸν ἐν καρδίᾳ τοῦ γεωργοῦντος ἀποδενδρούμενον, ὥστε γενέσθαι πανταχόθεν αὐτὸν ἀμφιλαφῆ τοῖς νοήμασι, καὶ διηπλωμένον ἀντὶ κλάδων τοῖς δόγμασι, καὶ τῷ σκοπῷ τῆς εὐσεβείας εἰς ὕψος ἀνατεινόμενον, ὡς καὶ τὰς ὑψηλάς τε καὶ μετεωροπόρους ψυχάς, ἃς πετεινὰ τοῦ οὐρανοῦ τὸ Εὐαγγέλιον ὀνομάζει, δύνασθαι τῷ μεγέθει τῶν τοιούτων κλάδων ἐννοσσεύειν». (α)

Ἐκ τῶν εἰρημένων καταδεικνύεται ἡ σπουδαιότης, ὁ σκοπὸς καὶ ἡ σημασία τῆς Πατρολογίας. Ἄνδρες δὲ ἀριπρεπεῖς ἐπὶ σοφίᾳ καὶ πολυμαθείᾳ ἐνησχολήθησαν καὶ οὐ παύονται ἐνασχολούμενοι εἰς τὴν μελέτην, ἑρμηνείαν, καὶ ἔκδοσιν τῶν συγγραμμάτων τῶν θείων ἡμῶν Πατέρων. Καὶ ἐξεδόθησαν μὲν πολλάκις τὰ τῶν Πατέρων συγγράμματα· τὰ πλεῖστα μάλιστα τούτων ἔτυχον καὶ πολυμαθεστάτων καὶ φιλοπονωτάτων ἐκδοτῶν· ἡ δὲ ἐσχάτως ἐν Παρισίοις ὑπὸ Μιγνίου (Migne) γενομένη ἔκδοσις τῆς Πατρολογίας ὑπερῆρε πάσας τὰς μέχρι τοῦδε γενομένας τῶν Πατέρων ἐκδόσεις διά τε τὸ περιεχόμενον, τὸ εὔχρηστον, τὸ κομψὸν καὶ τὸ εὐπόριστον. Καὶ πᾶσι μὲν τοῖς φιλοπόνοις καὶ πολυμαθέσιν ἑρμηνεῦσι καὶ ἐκδόταις μέγας ὀφείλεται ἔπαινος καὶ βαθεῖα ἡ εὐγνωμοσύνη, ἐξόχως δὲ τῷ ἀειμνήστῳ Μιγνίῳ (Migne)· ὃς τις διὰ τὴν ἔκδοσιν ἁπάσης τῆς σειρᾶς τῶν Πατέρων ἀπὸ τοῦ Α'. — ΙΕ'. Μ. Χ. αἰῶνος τὰ μέγιστα ὠφέλησεν καὶ εὐηργέτησεν ἅπαν τὸ χριστεπώνυμον πλήρωμα.

Περὶ τὸν κλάδον τῆς ἱερᾶς θεολογίας μετὰ πλείστου ὅσου ζήλου ἐνησχολήθησαν καὶ ἐνασχολοῦνται οἱ ἐν τῇ Ἑσπερίᾳ Εὐρώπῃ, κατ' ἐξοχὴν δὲ οἱ ὁπαδοὶ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας καὶ μετὰ καταπληκτικῆς ὄντως πολυμαθείας οὐκ ὀλίγα συγγράμματα συνέγραψαν καὶ οὐ παύονται συγγράφοντες ἀφορῶντα εἰς τὴν ὁμολογουμένως χρησιμωτάτην καὶ ἀναγκαιοτάτην ταύτην ἐπιστήμην. Εὖ γὰρ οἴδασιν οἱ πλεῖστοι τούτων καὶ ὁμολογοῦσιν, ὅτι μόνοι οἱ ἐν ἀρετῇ καὶ ἀληθεῖ σοφίᾳ διαπρέψαντες θεοφόροι Πατέρες ἐξεζήτησαν σοφώτατα τὰ βάθη τοῦ παναγίου Πνεύματος, ἐξέχεαν ὡς λαμπρότατοι φωστῆρες ἀπανταχοῦ τῆς οἰκουμένης τὸ φῶς τῆς ὑπ' Αὐτοῦ τοῦ Θεοῦ καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀποκαλυφθείσης θρησκείας, ὅτι μόνον ἐν αὐτοῖς δύναταί τις εὑρεῖν καὶ δογμάτων ἀκρίβειαν, καὶ ἁγνὴν εὐσέβειαν, καὶ πέλαγος νοημάτων, καὶ ἀκριβεστάτην τῶν θείων Γραφῶν ἑρμηνείαν, καὶ ἠθῶν θαυμασιωτάτην εὐκοσμίαν, καὶ λόγου ἀπαράμιλλον εὔροιαν, καὶ γλώσσης τελείαν ὑψηγορίαν.

Ἐκ δὲ τῶν τῆς ἡμετέρας ἁγιωτάτης ὀρθοδόξου Ἐκκλησίας Θεολόγων, δύο μόνον, ἐξ ὧν γε ἡμεῖς, ἴσμεν ἐνησχολήθησαν περὶ τὴν Πατρολογίαν, ὁ ἀοίδιμος τοῦ ἡμετέρου Πανεπιστημίου καθηγητὴς κ. Κωνσταντῖνος Κοντογόνης, οὗ οἱ μέχρι τοῦ νῦν ἐκδοθέντες δύο τόμοι τῆς Φιλολογικῆς καὶ Κριτικῆς ἱστορίας τῶν ἁγίων Πατέρων δύνανται παραβληθῆναι πρὸς τὰ τοιούτου εἴδους ἄριστα συγγράμματα τῶν Θεολόγων τῆς δύσεως καὶ ὁ περικλεὴς συγγραφεὺς τῆς ὑφ' ἡμῶν μεταφρασθείσης Ἱστορικῆς Διδασκαλίας περὶ τῶν ἁγίων Πατέρων τῆς Ἐκκλησίας πρώην ἀρχιεπίσκοπος Τζερνίγωφ Φιλάρετος, εἷς τῶν ἀρίστων Θεολόγων τῆς ὀρθοδόξου Ῥωσσίας». Ταῦτα γράφων ἀναγγέλλει ὁ ἐν Πετρουπόλει τας διατριβας ποιούμενος ἐπὶ ἀρετῇ καὶ παιδείᾳ καὶ δὴ καὶ ἀκράτῳ Ἑλληνισμῷ διαπρεπὴς ἀρχιμανδρίτης κ. Νεόφυτος Παγίδας, μεθερμηνεύσας εἰς τὴν Ἑλληνικὴν καὶ ἐπὶ

(α) Τομ. ΜΔ'. 62 κ. ἑ.

τὸ εὐμεθοδώτερον διασκευάσας καὶ συμπληρώσας τὸ τρίτομον πόνημα τοῦ κλεινοῦ ῥώσσου ἀρχιεπισκόπου Φιλαρέτου, Ἱστορικὴ Διδασκαλία περὶ τῶν Πατέρων τῆς Ἐκκλησίας (ἀπὸ τῆς Α'. μέχρι τῆς ΙΒ'. ἑκατονταετηρίδος.)

Καὶ ταῦτα μὲν περὶ φιλολογικῆς καὶ κριτικῆς ἱστορίας τῶν ἁγίων Πατέρων τῆς Ἐκκλησίας ἐρανισθέντα ἐκ τῆς διὰ τῆς Κλειοῦς καὶ τοῦ Ἀνατολικοῦ Ἀστέρος δημοσιευθείσης ἀγγελίας τοῦ σοφοῦ ἀρχιμανδρίτου κ. Νεοφύτου Παγίδα, ᾧ ἀπὸ μέσης καρδίας εὐχόμεθα, ἵνα αἰσίως καὶ ταχέως φέρῃ εἰς φῶς τὸ πολύτιμον, ἀναγκαιότατον καὶ ὠφελιμώτατον πόνημα αὐτοῦ. Εἴθε οἱ ὁμογενεῖς κατ' ἀξίαν ἐκτιμήσωσι καὶ τὴν ὠφέλειαν τοῦ ἔργου, καὶ τοὺς ἀτρύτους κόπους τοῦ μεταφραστοῦ καὶ ἐκδότου. Εἴθε εὕρῃ μιμητὰς καὶ ἄλλους τοιούτων θεαρέστων καὶ κοινωφελῶν ἔργων πρὸς τιμὴν τοῦ ἔθνους, καὶ εὔκλειαν τῆς κοινῆς ἡμῶν μητρὸς Ἐκκλησίας.

Ἀλλ' ὅμως, ἵνα ἀποβῇ ἐπιτυχὴς καὶ καρποφόρος κατὰ τὸ δέον ἡ μελέτη τῶν συγγραμμάτων τῶν θείων ἡμῶν Πατέρων καὶ Διδασκάλων, ἀνάγκη γινώσκειν τίνες οἱ καλούμενοι οὗτοι ἐκκλησιαστικοὶ Πατέρες, πότε ἕκαστος αὐτῶν ἤκμασε, ποῖαι αἱ θεάρεστοι αὐτῶν πράξεις, τίνα τῶν συγγραμμάτων αὐτῶν τὰ ἀληθῶς γνήσια, καὶ τίνα τὰ ἀμφιβαλλόμενα, ἢ νόθα καὶ ψευδεπίγραφα· τί τὸ ἐν αὐτοῖς περιεχόμενον, καὶ περὶ τί στρέφεται ἰδίως ἡ ἑκάστου διδασκαλία. Κατὰ τὸν θεῖον Χρυσόστομον· «Τίς ὁ γράψας τὸ βιβλίον, ἢ πότε ἔγραψε, καὶ περὶ τίνων ἔγραψε, καὶ τίνος ἕνεκα» (α).

Τούτων δ' ἁπάντων ἡ ἀκριβὴς γνῶσις, προπαιδεύουσα καὶ χειραγωγοῦσα τὸν ἀναγνώστην εἰς εὕρεσιν τοῦ ἀπεράντου καὶ παντοίας θεολογικῆς ὕλης βρίθοντος τῆς τῶν Πατέρων ἡμῶν φιλολογίας θησαυροῦ, καὶ λυσιτελῆ καὶ ὠφέλιμον τῶν εἰρημένων συγγραμμάτων μελέτην, ἀναγκαιοτάτη κρίνεται, μάλιστα καὶ πρὸς ὀρθὴν τῶν γραφέντων κατάληψιν, καὶ πρὸς ἀξίαν αὐτῶν τῶν γραψάντων ἐκτίμησιν.

Εὑρετήριον δὲ τοιοῦτον ἢ κατάλογον κατὰ συνέχειαν τῶν συγγραμμάτων πάντων τῶν ἁγίων Πατέρων ἀπὸ τοῦ Α'.—ΙΕ'. Μ. Χ. αἰῶνος, ὅπερ ἀληθῶς δύναταί τις, Κλεὶς Πατρολογίας ὀνομάσαι, οὐδεὶς τῶν ἡμετέρων ἐφιλοπόνησε, καθ' ὅσον ἡμεῖς ἴσμεν, ἐκτὸς ἀξιολόγου μέν, ἀλλὰ συντόμου τινὸς, μόνον τῶν ὑπομνηματιστῶν τῆς Ὀκτατεύχου, Πατέρων καὶ Διδασκάλων τῆς Ἐκκλησίας, ὑπὸ τοῦ ἀοιδίμου Νικηφόρου τοῦ Θεοτόκη, ἐν τῇ ὑπ' αὐτοῦ ἐν Λειψίᾳ ἐκδοθείσῃ διτόμῳ σειρᾷ τῶν ἑνὸς καὶ πεντήκοντα ὑπομνηματιστῶν κατὰ τὸ ἔτος 1772.

Ἀλλ' οὐχ ἧττον ἡ κτῆσις τῶν συγγραμμάτων τῶν Πατέρων, διὰ τὴν πρὸς τοῦτο ἀπαιτουμένην ὑπέρογκον δαπάνην πολλοῖς λογίοις καὶ φιλομαθέσι δυσέφικτος ὡς ἐπὶ τὸ πλεῖστον. Βίβλος ἄρα, ἐν ᾗ κεῖνται ἀποτεθησαυρισμένα τὰ ἀριστουργήματα τῶν Ἑλλήνων Πατέρων, καὶ τοῖς πᾶσι προσιτὴ καὶ εὐπόριστος ἦν ἂν ἓν τῶν εὐκταιοτάτων πρὸς πάντα θεολόγον, λόγιον καὶ κληρικὸν, καὶ ὡς τοιαύτη προσφέρεται παντὶ τῷ βουλομένῳ ἡ Κλεὶς τῆς Πατρολογίας.

Ἀπὸ πολλῶν ἤδη ἐτῶν μελετῶντες καὶ ἀνελίττοντες τὰ συγγράμματα τῶν θεοφόρων ἡμῶν Πατέρων καὶ Διδασκάλων μετὰ πόθου ἀνελογιζόμεθα, ὅτι κατάλογος ἢ εὑρετήριον, οἷον ἡ παροῦσα Κλεὶς Πατρολογίας, λαμβανομένη εἰς χεῖρας παντὸς θεολόγου, ἱεροκήρυκος καὶ λογίου οὐ μικρὸν συντελέσει εἴς τε τὴν προσοικείωσιν τῶν ἁγίων Πατέρων, καὶ εἰς τὴν ἀναγκαίαν καὶ ὠφέλιμον ἀνάγνωσιν τῶν θαυμασίων αὐτῶν συγγραμμάτων. Ἄλλα τὸ ἔργον ἦν δυσχερὲς καὶ καθ' ἡμᾶς σχεδὸν ἀδύνατον κατορθῶσαι

(α) Τομ. ΝΑ'. 74.

τὸ ποθούμενον, συντάξαι ἐξ ὑπαρχῆς πόνημα οἷον τὸ παρόν, δι' ἔλλειψιν σειρᾶς Πατρολογίας ἐν μιᾷ καὶ τῇ αὐτῇ ἐκδόσει ἀπὸ τοῦ Α'.—ΙΕ'. Μ. Χ. αἰῶνος. Ἐντυχόντες ὅμως μεθ' ὅσης χαρὰς οὐχ οἷόν τε ἡμῖν εἰπεῖν, ἁρμοδίας καὶ ἀρίστης βοηθείας, τῆς ὑπὸ τοῦ ἀειμνήστου, μεγαθύμου, εὐεργέτου παντὸς τοῦ χριστεπωνύμου πληρώματος, καὶ χαλκεντέρου Μιγνίου ἐκδόσεως τῆς ὅλης σειρᾶς τῶν Ἑλλήνων Πατέρων καὶ συγγραφέων τῆς Ἐκκλησίας ἀπὸ τοῦ Α'.—ΙΕ'. Μ. Χ. αἰῶνος, ἠξιώθημεν θείᾳ ἀρωγῇ μετὰ πολλοῦ κόπου ἀγαγεῖν εἰς πέρας τὴν Κλεῖδα τῆς Πατρολογίας, ᾗ εἴχομεν δυνάμεως. «Οὐδεμία δὲ αὐτάρκης ἀνθρώποις φύσις οὔτ' ἐν λόγοις, οὔτ' ἐν ἔργοις ἀναμάρτητος εἶναι· κρατεῖσθαι δὲ ἡ πλεῖστα μὲν ἐπιτυγχάνουσα, ἐλάχιστα δὲ ἀστοχοῦσα (α).

Ζ'.

Πόθεν ὁρμηθέντες ἀνελάβομεν τὴν σύνταξιν τῆς παρούσης Κλειδός.

Ἐκ πατέρων ἡμεῖς καὶ διδασκάλων τὸν τρόπον καὶ τὸν τύπον ὠφεληθέντες, κατὰ τὸν ἱερομάρτυρα Πάμφιλον, ἐγχειροῦμεν τῇδε τῆς Κλειδὸς ἐκδόσει, ἑκάστου τῶν ἀναγινωσκόντων εὐχῇ τῇ ὑπὲρ ἡμῶν τὴν συμπεριφορὰν κομιζόμενοι· ᾧ πολιὰ μὲν ἡ θρὶξ, νωθρὰ δὲ ὑπὸ τοῦ χρόνου ἡ δύναμις, ὑπότρομος δὲ καὶ ὑποσκάζων ὁ λόγος. Ἐπεχειρήσαμεν δὲ τοῦτο πρᾶξαι, ὡς πολλοῖς ὠφέλιμον ἔσεσθαι τόδε τὸ σύγγραμμα οἰόμενοι. Οὗ δὴ ἕνεκα, καίτοι τοῦ σώματος οὐκ εὖ ἡμῖν διακειμένου, τόνδε προειλόμεθα τὸν πόνον.

Ἀπὸ πολλοῦ ἡμεῖς χρόνου ἐγκύψαντες εἰς μακρὰς καὶ ἐπισταμένας τῶν θείων ἡμῶν Πατέρων καὶ Διδασκάλων, ὡς καὶ τῶν Βυζαντινῶν συγγραφέων μελέτας, καὶ ὡς εἴχομεν δυνάμεως πάντα αὐτῶν τὰ συγγράμματα ἐπιμελῶς ἀνερευνήσαντες, πλοῦτον κατ' ἀλήθειαν ἀνεύρομεν ἀκένωτον καὶ θησαυρὸν πάσης γνώσεως καὶ ἐπιστήμης πολύτιμον. Ἀλλ' ὡς μὴ ὤφελεν ἐγκεκλεισμένον καὶ τοῖς πλείστοις ἄγνωστον· Διὸ κατὰ τὸν θεῖον Γρηγόριον τὸν Ναζιανζηνὸν, ἂν καί·

«Ἄφωνον ἔργον κρεῖσσον ἀπράκτου λόγου·
Βίου μὲν οὐδεὶς πώποθ' ὑψώθη δίχα,
Λόγου δὲ πολλοὶ τοῦ καλῶς ψοφουμένου·
Οὐ γὰρ λαλούντων, εὖ βιούντων δ' ἡ χάρις». (β)

ἐνομίσαμεν, ὅτι σπουδαῖον πράξομεν ἔργον, ἀναλαμβάνοντες τὴν εἰς φῶς ἐξαγωγὴν τοῦ λίαν μὲν ἀναγκαίου καὶ ἀφθόνου, ἀλλ' ἀγνώστου τοῖς πολλοῖς καὶ παρημελημένου τούτου θησαυροῦ· «Σοφία κεκρυμμένη, θησαυρὸς ἀφανής, καὶ πηγὴ ἐσφραγισμένη, τίς ἐν τρισὶν ἡ ὠφέλεια;» Ἐπὶ τούτῳ προέβημεν εἰς τὴν σύνταξιν τῆς παρούσης Κλειδὸς τῆς Πατρολογίας καὶ τῶν Βυζαντινῶν συγγραφέων. Ἔχοντες ὑπ' ὄψιν τὴν ἐσχάτως ὑπὸ Μιγνίου (Migne) ἐκδοθεῖσαν ἐν Παρισίοις Ἑλληνικὴν Πατρολογίαν ἁπάντων τῶν σωζομένων ἢ εὑρισκομένων συγγραμμάτων τῶν ἁγίων Πατέρων ἐν τόμοις ἑκατὸν ἑξήκοντα καὶ ἑνὶ, κατετάξαμεν σύμπασαν τὴν ἀπειροπληθῆ αὐτῆς ὕλην ἀπὸ τοῦ Α'.—ΡΞΑ'. τόμου ἐν καταλόγῳ ἀκριβεῖ καὶ συστηματικῷ, κατ' ἀκρίβειαν ἑπόμενοι τῇ ἀριθμητικῇ τῶν τόμων σειρᾷ.

(α) Διονυσ. Ἁλικ. περὶ χαρακτῆρος Θουκυδ. κεφ. γ'. (β) Γρηγ. Ναζ. τομ. ΑΖ'. 929. ΑΗ'. 793.

Ἐν τῷ συντάγματι τούτῳ κατὰ χρονολογικὴν τάξιν περιέχονται πάντες οἱ Πατέρες καὶ Διδάσκαλοι τῆς Ἐκκλησίας, καὶ Βυζαντινοὶ συγγραφεῖς, οἱ ἀπὸ τοῦ Α'.—ΙΕ'. αἰῶνος ἀκμάσαντες καὶ ἐν τῇ Πατρολογίᾳ περιεχόμενοι. Πρὸς τούτοις δὲ σημειοῦνται τῶν συγγραμμάτων ἑνὸς ἑκάστου τὰ γνήσια, τὰ ἀμφιβαλλόμενα, τὰ νόθα ἢ ὑποθετικά, ὁ χρόνος, ἐν ᾧ ἕκαστος ἤκμασεν, οἱ τόμοι, ἐξ ὧν τὰ συγγράμματα ἑκάστου σύγκεινται, αἱ σχετικαὶ πρὸς ἕνα ἕκαστον αὐτῶν πραγματεῖαι, αἱ ἀναλύσεις, τὰ σχόλια, ἡ φρασεολογία, τὰ λεξικολόγια, αἱ μαρτυρίαι καὶ σημειώσεις, ἃς περιέχει ἡ ἔκδοσις. Ὅθεν διὰ τοῦ παρόντος συγγράμματος, καὶ ὁ ἔχων τὴν Πατρολογίαν εὐκολύνεται εἰς εὕρεσιν τῶν περιεχομένων, καὶ ὁ μὴ ἔχων ἢ ἀγνοῶν τί ἐστι Πατρολογία, εὐχερῶς δύναται λαβεῖν γνῶσιν περὶ πάντων τῶν ἐν αὐτῇ.

Ἐκλήθη δὲ Κλεὶς Πατρολογίας καὶ Βυζαντινῶν συγγραφέων ἡ παροῦσα συγγραφή, ὡς ἀναπεταννύουσα οἱονεὶ τὰς πύλας τῶν πολυτελῶν ἀνακτόρων τῶν θείων ἡμῶν Πατέρων καὶ προγόνων, καὶ εἰσάγουσα καὶ καθοδηγοῦσα πάντα φιλομαθῆ εἰς τοὺς πλουσίους αὐτῶν θησαυροὺς, τοὺς πάσης θείας καὶ ἀνθρωπίνης γνώσεως μεστοὺς, καὶ παριστῶσα πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ τὴν ἱερὰν θεολογίαν, τὴν ἀληθῆ φιλοσοφίαν, τὴν φυσιολογίαν, τὴν ἱστορίαν, τὴν ἀστρονομίαν, τὴν ἰατρικὴν, τὴν νομικὴν, καὶ πᾶσαν ἄλλην σύγχρονον αὐτοῖς γνῶσιν.

Ἐπειδὴ δὲ ἐν τῇ ὑπὸ Μιγνίου (Migne) ἐκδοθείσῃ Πατρολογίᾳ οὐ περιελήφθησάν τινες τῶν Βυζαντινῶν συγγραφέων· οἷοί εἰσιν, Ἰωάννης Λαυρέντιος ὁ Λυδὸς, Φλάκκος Μεροβώδης, Ζώσιμος ὁ Κόμης, Προκόπιος ὁ Καισαρεὺς, Κόριππος ὁ Ἀφρικανὸς, Θεοφύλακτος Σιμοκάττης, Μιχαὴλ ὁ Ἀτταλειάτης, καὶ ἡ ὑπὸ Μαρτίνου Κρουσίου Τουρκογραικία, πρὸς πληρεστέραν καὶ τελειοτέραν τοῦ ἔργου κατάρτισιν, συμπεριελάβομεν ἐν τῇ παρούσῃ Κλειδὶ καὶ τὰ τούτων συγγράμματα ἐκ τῆς ἐν Βόννῃ ἐκδόσεως αὐτῶν.

Ὥστε σύμπασα ἡ τῆς Πατρολογίας ὕλη ἡ ἐν ἑκατὸν ἑξήκοντα καὶ ἑνὶ τόμοις περιεχομένη ἐν τεύχει ἑνὶ καὶ μόνῳ, ὡς ἐν σκελετῷ, συμπεριληφθεῖσα καὶ ὑποδειχθεῖσα ὁποία τίς ἐστι, νομίζομεν, ὅτι χρησιμεύσει ὡς ὁδηγὸς οὐ μόνον τοῖς περὶ τὴν θεολογίαν ἀσχολουμένοις, ἀλλὰ καὶ παντὶ ἐν γένει ἐπιστήμονι καὶ λογίῳ· καὶ αὐτοῖς δὲ τοῖς ἐν ὑστέρῳ λόγῳ τιθεμένοις τὴν τῶν θείων ἡμῶν Πατέρων ἀνάγνωσιν, καταδείξει, οἷος καὶ ὅσος θησαυρὸς ἐγκλείεται ἐν τοῖς συγγράμμασιν αὐτῶν.

Οὕτως οὖν, ὡς εἴχομεν δυνάμεως καὶ εὐκαιρίας, συμπληρώσαντες τὸ ἀνὰ χεῖρας πόνημα προσφέρομεν αὐτὸ τῇ Μιᾷ, Ἁγίᾳ, Καθολικῇ καὶ Ἀποστολικῇ τῶν Ὀρθοδόξων **ΕΚΚΛΗΣΙΑι**, ἕως οὗ τελειότερον τούτου ἀναφανῇ ἔργον ἐν τῇ καθ' ἡμᾶς Ἐκκλησιαστικῇ φιλολογίᾳ.

Ἐὰν δὲ τὸ παρουσιαζόμενον τοῦτο πόνημα εὐμενῶς γένηται ἀποδεκτὸν, καὶ νομισθῇ ὠφέλιμον εἰς ἐπικουρίαν, τό γε νῦν, οὐ μόνον τοῖς περὶ τὴν ἱερὰν θεολογίαν ἐνασχολουμένοις, ἀλλὰ καὶ ἅπασιν ἁπλῶς τοῖς ἐγκύπτουσι τῇ ἀναγνώσει καὶ μελέτῃ τοῦ βίου καὶ τῶν συγγραμμάτων τῶν θεοφόρων τῆς Ἐκκλησίας Πατέρων, ἀμέσως κατόπιν, θείᾳ συνάρσει, ἐκδώσομεν καὶ ἕτερα δύο πονήματα ἀναγκαιότατα καὶ λίαν ὠφέλιμα, ἕτοιμα ὄντα εἰς τύπωσιν, τὸ μὲν, Ταμεῖον τῆς ὅλης Πατρολογίας ἐπιγραφόμενον, ἤτοι Γενικὸν Ἀναλυτικὸν πίνακα κατ' ἀλφαβητικὴν τάξιν συντεταγμένον, καὶ πεπλουτισμένον δι' ἀκριβεστάτης συλλογῆς πασῶν τῶν ἐν τῇ ὅλῃ Πατρολογίᾳ εὑρισκομένων ἀξιοσημειώτων ἐννοιῶν, λέξεων, πραγμάτων καὶ κυρίων ὀνομάτων, καὶ τῆς παραπομπῆς αὐτῶν· ὅτι δὲ δι' αὐτοῦ πᾶς λόγιος, εἴτε θεολόγος, εἴτε ἄλλης οἱασδήποτε ἐπιστήμης κάτοχος τὰ μέγιστα εὐκολυνθήσεται πρὸς πᾶσαν περὶ παντὸς ἀντικειμένου ἔρευναν καὶ μελέτην, τὸ πρᾶγμα

ἀφ' ἑαυτοῦ, νομίζομεν, εὔδηλον· τὸ δὲ, ὡς ἥδυσμά τι, κατὰ τὸν θεολόγον Γρηγόριον, καὶ ἄνθος ἐπεισόδιον τοῖς φιλομαθέσι, περὶ ἀναγνώσεως τῶν ἁγίων Γραφῶν ἐκ τῶν συγγραμμάτων τῶν θείων ἡμῶν Πατέρων, δι' ὧν οὐ κλέπτεταί τις τὸν νοῦν, ἀντεχόμενος τῶν ξένων, ὡς ἡμετέρων.

Ἐὰν δὲ ψευσθῶμεν τῆς ἐλπίδος, καὶ οἱ πόνοι ἡμῶν μάταιοι ὅλως καὶ ἀσυντελεῖς τῇ εὐστόχῳ ἐπιτυχίᾳ τοῦ προκειμένου σκοποῦ εὑρεθῶσιν, οἱ μὲν ἀναγινώσκοντες ἀπιδέτωσαν κἂν μετὰ συγγνώμης εἰς τὴν προθυμίαν ἡμῶν· οἱ δὲ περὶ τοιαύτας μαθήσεις δεινοὶ ἀποδυέτωσαν εἰς τὸ στάδιον θαρραλεώτεροι ἀθληταί· «Ἐγὼ δέ, φησὶν ὁ ἱερὸς Θεοδώρητος, τῆς τε τῶν νοσούντων ἕνεκα θεραπείας, καὶ τῆς τῶν ὑγιαινόντων προθυμούμενος ὠφελείας, τοῦτον ἀνεδεξάμην τὸν πόνον· τοὺς δὲ τοῖς ἀλλοτρίοις ἐντυγχάνοντας πόνοις παρακαλῶ, εἰ μὲν ἅπαντα εὖ ἔχοι τὰ γεγραμμένα, τὸν τούτων ἀνυμνῆσαι δοτῆρα, καὶ τοῖς πεπονηκόσι προσευχὰς ἀντιδοῦναι· εἰ δέ τινα ἐλλείπει, μὴ πάντων ὁμοῦ τούτων ἕνεκα καταγνῶναι, ἀλλ' ἐκ τῶν εὖ εἰρημένων τὸ κέρδος κομίσασθαι. Τῇ μὲν ἐμαυτοῦ δυνάμει τόδε τὸ ἔργον σταθμησάμενος, ὠῤῥώδησα τὴν ἐγχείρησιν· θαῤῥήσας δὲ τῷ φιλοτίμῳ δοτῆρι τῶν ἀγαθῶν, μείζοσιν ἢ κατ' ἐμαυτὸν ἐνεχείρησα» (α).

Ἰδοὺ οὖν, ὦ βέλτιστον Πανελλήνιον ἔθνος, «γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν», (β) ἐμφανὲς νῦν καὶ προχειρότατον ἔχεις ἐπιβοήθημα, τὸ ποτὲ δυσέντευκτον καὶ οὐ πᾶσι προσιτόν. Οὐκ ἔτι λοιπὸν, ὦ θεσπέσιοι τῶν ἱερῶν μυσταγωγοὶ Γραφῶν, καὶ οἱ λοιποὶ ἅπαντες, ὅσοις ἔρως ἐνέσταξε θεῖος τοῦ μελετᾷν τοῦ Κυρίου τὰ λόγια, ἀνάγκη ἡμῖν ἐπαπουροῦσιν. Αὕτη μὲν γὰρ ἡ δέλτος οὐ μόνον τὰς ἐκδεδομένας καὶ γνωστὰς, ἀλλὰ δὴ καὶ τὰς ἀνεκδότους τε καὶ ἀγνοουμένας τῶν θαυμασίων ἐμπεριέχει ἀνδρῶν ἑρμηνείας. Εἴ γε δὴ οὖν ὁ τοῦ Θεοῦ λόγος ἐστὶν ὁ ἄρτος ὁ στηρίζων, καὶ ἡ ἐν αὐτῷ δύναμις ὁ οἶνος ὁ τὰς καρδίας εὐφραίνων, ἡ βίβλος αὕτη ἐστὶν ἡ μυστικὴ παρεσκευασμένη τοῦ Σολομῶντος τράπεζα, εἰς ἣν λαμπρῷ τε καὶ ὑψηλῷ τῷ κηρύγματι τοὺς ἀφ' ἑαυτῶν ἐνδεεῖς πρὸς κατάληψιν ἔχοντας τὰς φρένας συγκαλεῖ ὁ οὐράνιος Βασιλεὺς ὁ Παράκλητος· «ἔλθετε, λέγων, φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν ὑμῖν κεκέρακα.» (γ) «Σχολάσατε καὶ γνῶτε, (δ) Γεύσασθε καὶ ἴδετε.» (ε) «Ὁ δὲ Θεὸς πάσης χάριτος, ὁ καλέσας ἡμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν ἐν Χριστῷ Ἰησοῦ, καταρτίσαι τὸ ἔθνος ἡμῶν, στηρίξαι, σθενῶσαι, θεμελιῶσαι· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων (ς). Ἀμήν.»

(α) Θεοδ. τομ. ΠΓ'. 788. ΠΒ'. 881. (β) Α'. Πέτρου β'. 9. (γ) Παροιμ. Θ'. 1—6.
(δ) Ψαλμ. λγ'. 9. (ε) Ψαλμ. με'. 11. (ς) Α'. Πέτρ. ε'. 10.

ΔΩΡΟΘΕΟΣ ΣΧΟΛΑΡΙΟΣ

πρώην μητροπολίτης Ἀκρίσσης τοῖς ἐντευξομένοις ταπεινὴ ὑπόμνησις καὶ πατρικὴ προτροπὴ εἰς τὴν εὐσέβειαν τῶν πατέρων καὶ προγόνων ἡμῶν καὶ εἰς τὰ σεμνὰ καὶ ἁγνὰ ἤθη καὶ ἔθιμα αὐτῶν.

Οὐδὲν τῆς γνώσεώς ἐστι τιμιώτερον· διότι ἡ γνῶσις φῶς ἐστι ψυχῆς λογικῆς· τοὔμπαλιν ἡ ἄγνοια σκότος, οὕτω καὶ ἡ τῆς γνώσεως στέρησις λογισμοῦ σκότος ἐστίν. Ἀλόγων γὰρ ἡ ἄγνοια ἴδιον· λογικῶν δὲ ἡ γνῶσις διὰ τῆς φιλοσοφίας, καὶ ἡ φιλοσοφία, διὰ τῆς γνώσεως προσκτᾶται. Ἡ γνῶσις μόνη φυσιοῖ. Μετὰ δὲ τῆς φιλοσοφίας ζωοποιεῖ, καὶ ζωογονεῖ. Φιλοσοφία ἡ γνῶσις τῶν θείων καὶ ἀνθρωπίνων πραγμάτων· τουτέστιν ὁρατῶν τε καὶ ἀοράτων. Φιλοσοφία τὸ τοῦ ἴσου διανεμητικὸν καὶ ἀπροσωπόληπτον ἐν κρίσει· φιλοσοφία, τὸ ὅσιον ὑπὲρ τὸ δίκαιον, τὸ εὐεργετεῖν τοὺς ἀδικοῦντας. Φιλοσοφία τέχνη τεχνῶν, καὶ ἐπιστήμη ἐπιστημῶν. Αὐτῆς ἀπρὶξ ἀντεχώμεθα, ἐν ᾗ πάντες εἰσὶν οἱ θησαυροὶ τῆς γνώσεως οἱ ἀπόκρυφοι, ὁποίους δεῖ εἶναι τοὺς τῆς σοφίας θησαυροὺς καὶ τῆς γνώσεως· καὶ εἴ τίς ἐστιν ἀξιωθεὶς εἰδέναι τὰ ἄῤῥητα ῥήματα, ἃ οὐκ ἔξεστιν ἀνθρώπῳ λαλῆσαι, εἰδείη ἂν τὴν ἐν μυστηρίῳ σοφίαν τὴν ἀποκεκρυμμένην. Τῆς φωνῆς αὐτῆς διὰ τῶν θείων Γραφῶν ἀκούσωμεν, καὶ μάθωμεν τὴν πάντων τῶν ὄντων γνῶσιν τὴν ἀληθῆ διὰ τῶν ἱερῶν Πατέρων. Προσερχόμενοι, ἐπιμελῶς καὶ εἰλικρινῶς προσιῶμεν, μὴ ἀμβλύνοντες ἡμῶν τὸ νοερὸν τῆς ψυχῆς ὄμμα τοῖς πάθεσι. Διότι μόλις ἂν καθαρωτάτῳ καὶ διειδεστάτῳ ὀφθαλμῷ τρανῶς ἀτενίσαι τις τῇ ἀληθείᾳ δυνήσηται. Οὕτω πᾶσαν λογισμοῦ ζάλην ἀποσεισάμενοι, ἀΰλως προσέλθωμεν τῇ ἀληθείᾳ. Οὐδὲν γὰρ τῆς ἀληθείας σαφέστερον, οὐδὲ ἁπλούστερον, ὅταν τις μὴ κακουργῇ. Προσερχόμενοι, καὶ μέχρι πύλης φθάνοντες, μὴ ἀρκεσθῶμεν, ἀλλ' εὐτόνως κρούσωμεν, ὡς ἂν ἀνοιχθείσης ἡμῖν τῆς τοῦ νυμφῶνος θύρας, καὶ ἴδωμεν τὰ ἐν αὐτῇ κάλλη. Πύλη μὲν οὖν ἐστι τὸ γράμμα, ὁ δὲ ἐντὸς τῆς πύλης νυμφὼν, τὸ κεκρυμμένον ὑπ' αὐτοῦ τῶν νοημάτων τὸ κάλλος, ἤτοι τῆς ἀληθείας τὸ πνεῦμα. Εὐτόνως κρούσωμεν. Ἀναγνῶμεν ἅπαξ, δὶς, πολλάκις· καὶ οὕτως ὀρύσσοντες, τὸν θησαυρὸν τῆς γνώσεως καὶ τῆς φιλοσοφίας εὑρήσομεν, καὶ τοῦ πλούτου τῆς χρηστότητος κατατρυφήσομεν. Ζητήσωμεν, ἐρευνήσωμεν, ἀνακρίνωμεν. «Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται» (α) Καὶ, «Ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι· τοὺς πρεσβυτέρους σου ἐν γνώσει, καὶ ἐροῦσί σοι» (β). Ἐὰν ὦμεν φιλομαθεῖς, εσόμεθα καὶ πολυμαθεῖς. Ἁλωτὰ γὰρ ἐπιμελείᾳ καὶ πόνῳ γίνεσθαι πέφυκεν ἅπαντα. Καὶ πρὸ πάντων, καὶ μετὰ πάντα, τῇ τοῦ διδόντος Θεοῦ χάριτι.

Ἀντεχώμεθα λοιπὸν τῆς ὑγιαινούσης διδασκαλίας, καὶ φεύγωμεν ὡς ἀπὸ πυρὸς τὴν διαστροφὴν τῆς ἀληθείας. Ἡ πίστις ἡμῶν καὶ θεία ἐστὶ καὶ πρεπωδεστάτη, καὶ τῇ ἀνθρωπίνῃ φύσει ἁρμοδιωτάτη, καὶ κόσμος καὶ ἐγκαλλώπισμα τῶν κατὰ Χριστὸν πρεσβευόντων αὐτήν. Καὶ τῇ μὲν εὐσεβείᾳ συνοικεῖ ἡ εὐφροσύνη μετὰ τῆς πίστεως, τῆς ἐλπίδος, καὶ τῆς ἀγάπης· τῇ δὲ ἀπιστίᾳ ὁ κόρος, ἡ ἑπομένη ἀηδία, καὶ τέλος, ἡ ἀπελπισία. Καὶ ἐπειδὴ ταῦτα οὕτως ἔχουσιν, ἡ εὐσέβεια καὶ εὐκολωτέρα καὶ ἡδίων τοῖς γε νοῦν ἔχου-

---

(α) Ματθ. Ζ'. 8. (β) Δευτ. ΛΒ'. 7.

σιν. Ἀπρὶξ λοιπὸν καὶ ἐκθύμως περιεχώμεθα ταύτης, τῆς κἀνταῦθα καὶ ἐν τῷ μέλλοντι ἀποβλέπτους ποιούσης τοὺς ἐραστάς.

Ἄμαχον γάρ ἐστιν ἐπὶ παντὸς ἡ συνήθεια, πολλὴν ἔχουσα δύναμιν πρὸς ἑαυτὴν ἑλκύσαι καὶ ἐπισπάσασθαι τὴν ψυχήν, καί τινα καλοῦ παρασχεῖν φαντασίαν, ἐν ᾧ ἄν τις σχέσιν καὶ προσπάθειαν διὰ τοῦ προσεθισμοῦ τινα κτήσηται. Τῷ ὄντι ἡ συνήθεια οὐ μόνον παρ' ὁλοκλήροις ἔθνεσι μεγάλην ἐξασκεῖ τὴν ἐπιῤῥοὴν ἐπὶ τῆς πορείας, τοῦ βίου καὶ τῆς πρόοδου αὐτῶν, ἀλλὰ καὶ παρὰ τῷ καθ' ἕκαστον ἀνθρώπῳ τοσοῦτον ἐπηρεάζει τὰς ἰδέας καὶ πράξεις, ὥστε περὶ τοῦ αὐτοῦ πράγματος μὴ τὴν αὐτὴν πάντοτε ἔχειν κρίσιν, ἀλλ' ὅπως ὑπὸ τῆς συνηθείας διατεθῇ. Ἡ δὲ συνήθεια γέννημα καὶ προϊόν ἐστι τῆς ἀρχῆς τοῦ βίου, ἐξ ἧς ὁρμᾶταί τις. Ὅθεν δεῖ πρῶτον καὶ κύριον μέλημα τοῦ ἀνθρώπου εἶναι τὴν ἠθικὴν εὐδαιμονίαν, τὴν πηγάζουσαν ἐκ τῆς ὀρθῆς γνώσεως καὶ διδασκαλίας, ὅπως πράττῃ τὸ καλὸν, καὶ ἀποφεύγῃ τὸ κακόν. Ἡ πρὸς Θεὸν λατρεία κέκληται λογικὴ, λογικὸν ἄδολον γάλα, καὶ ὑγιαίνουσα διδασκαλία. Οἱ δὲ φυλάττοντες τὴν εὐαγγελικὴν τῆς ἰσότητος καὶ τῆς δικαιοσύνης διδασκαλίαν, ἐκεῖνοι καὶ μόνοι λατρεύουσιν αὐτῷ ἐν πνεύματι καὶ ἀληθείᾳ. Ἐκεῖνοι διὰ τῆς ἀρετῆς, τῆς ὑγιαινούσης διδασκαλίας, καὶ τοῦ καλοῦ αὐτῶν παραδείγματος, εἰσὶν ἀγαθοὶ ὁδηγοὶ, καὶ σοφοὶ διδάσκαλοι, κάτοχοι θείας γνώσεως καὶ φιλοσοφίας, ὡς οἱ Πατέρες καὶ πρόγονοι ἡμῶν· «Οἵτινες ἐλάλησαν ἡμῖν τὸν λόγον τοῦ Θεοῦ· ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμησώμεθα τὴν πίστιν. (α) «Καὶ γὰρ ἀρετῆς οὐδὲν τιμαλφέστερον· οὐ πλοῦτος, οὐ ῥώμη, οὐκ εὐγλωττία, οὐ λαμπρὸν ἢ ὑπέρλαμπρον ἀξίωμα, οὐχ ὁ τῶν ὑπάρχων θρόνος, οὐχ ἁλουργὶς καὶ διάδημα σεμνύνειν τοὺς ἔχοντας πέφυκεν, ὡς ἀρετὴ καὶ φιλοσοφία» (β).

Ἀλλὰ καίτοι πολλὰ καὶ διάφορα τὰ καθήκοντα τῶν ἀνωτέρων πρὸς τοὺς ὑποδεεστέρους· πολλὰ τῶν γεννητόρων πρὸς τὰ τέκνα· οὐ μικρὰ τῶν διδασκάλων πρὸς τοὺς μαθητάς· καὶ ἀσυγκρίτῳ πολλῷ μείζω τῶν ἱεραρχῶν καὶ κληρικῶν, τῶν ἐν ὑπηρέταις τοῦ πνεύματος· διότι πᾶσα ἡλικία, πᾶν ἔτος, πᾶσα ἡμέρα, πᾶς τόπος, εἰς ὃν ἐρχόμεθα, πᾶσα μεταβολὴ καταστάσεως, ἀπαιτοῦσι παρ' ἡμῶν ἐγρήγορσιν, νηφαλιότητα, ἀνανέωσιν τῆς προσοχῆς· διότι σύζυγος, τέκνα, ὑπηρέται, γείτονες, φίλοι, ἐχθροὶ, ὑπάλληλοι, μαθηταὶ, ποίμνιον, σκοποβολοῦσιν ἡμᾶς, τὰ διαβήματα ἡμῶν, κατὰ τὴν ὑπεροχὴν, κατὰ τὴν πρόνοιαν, καὶ τὴν προστασίαν καὶ ἀρετήν· καὶ οὕτω διὰ τῶν καλῶν, ἢ κακῶν παραδειγμάτων, γινόμεθα αὐτοῖς σωτηρίας, ἢ ἀπωλείας αἴτιοι· καὶ ὅμως πολλοὶ τούτων τῶν τοιαῦτα καθήκοντα ἐχόντων ἐν τῷ αἰῶνι τούτῳ, λογισμοὺς εἰς μέσον ἄγουσι διεστραμμένους, σοφίσματα, καὶ πλοκὰς ἀραχνίων εὐτελεστέρας· ἀπὸ χρηστῶν φαῦλοι, κακὸν μιμήσεως παράδειγμα γενόμενοι, καὶ τοῖς κρίνειν ὀρθῶς μὴ δυναμένοις, πέτρα σκανδάλου. Ἀλλ' «οὐαὶ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται,» ταλανίζει ὁ Κύριος τοὺς ἐκ προαιρέσεως πονηροὺς. Πόθεν δ' αὕτη ἡ ἐπὶ τὰ χείρω καὶ κατὰ κρημνῶν μεταβολὴ καὶ ῥοπή: Εὔδηλον, ὅτι ἀπὸ τῆς γνώμης καὶ τῆς προαιρέσεως, ἀπὸ ῥαθυμίας μόνης, ἀπὸ ἀργίας, ἀπὸ τοῦ πονηροῖς συγγίνεσθαι, ἀπὸ τοῦ καταφρονεῖν ἀρετῆς. Οἱ πονηρὰ τολμῶντες, καὶ παραμυθίαν τινὰ ἀνόητον βουλόμενοι διά τινων κενῶν λόγων, ἀραχνῶν ὑφάσματα πλέκουσιν. Ἀλλ' ἡμεῖς ταῦτα καὶ τὰ τοιαῦτα μὴ δια λόγων μόνον, ἀλλὰ καὶ διὰ τῶν ἔργων διαῤῥήξωμεν.

Ἄλλα ποία καὶ πόση πολλοῖς ἀναλγησία ἐν τοῖς ἱερωτέροις τῶν καθηκόντων! Πολ-

---

(α) Ἑβρ. ΙΓ'. 7. (β) Ἰσίδ. ΟΗ'. 929.

λοὶ τὸ ἀγνοεῖν τὴν ἑαυτῶν θρησκείαν, τὰ δόγματα καὶ τὰς ἐντολὰς, ἐν μοίρᾳ τίθενται Καρός. Ἡ δ' ἄγνοια αὕτη, δυστυχῶς κατέχει οὐ μόνον ἰδιώτας, καὶ ἀγραμμάτους αὕτη διακλαδοῦται καὶ ἐπ' αὐτοὺς τοὺς καλοὺς κἀγαθοὺς τῶν ὁμογενῶν· καὶ ἐπ' αὐτοὺς τοὺς ἄλλων ὁδηγοὺς καὶ ἡγήτορας· ἐπὶ πολλοὺς λογίους καὶ διδασκάλους, ἄλλως ἀξιοτίμους καὶ πεπαιδευμένους. Ἐν τῇ νῦν ἐποχῇ, οὐδὲν κοινότερον, ἢ μετ' ἄλγους ἐθνικοῦ, καὶ θλίψεως τῆς ἁγιωτάτης ἡμῶν Ἐκκλησίας, βλέπειν ἡγήτορας, λογίους, διδασκάλους, πολίτας τιμίους, ποδηγέτας τοῦ λαοῦ καὶ τῆς χρηστῆς ἐλπίδος, τῆς νεολαίας, ἢ ἐν βαθυτάτῃ ἀγνοίᾳ, ἢ ἐπιπολαίῳ καὶ ἀμεθόδῳ γνώσει τῆς σωστικῆς καὶ ὀρθοδόξου ἡμῶν θρησκείας. Ἕπεται δ' ἐντεῦθεν, ὥς γε τοῖς ἐχέφροσι καὶ ἀλγοῦσι τῶν ὁμογενῶν δῆλον, διαστροφὴ τῶν ἠθῶν, παραλυσία θρησκευτικὴ, παραλυσία, ὡς μὴ ὤφελεν, ἐθνική.

Παρ' ἡμῖν, ἐπειδὴ ἤδη ἀρχὴν τοῦ βίου ἐποιησάμεθα, οὐχὶ τὴν κατὰ Θεὸν μόρφωσιν καὶ διάπλασιν, ἀλλὰ μετεστράφημεν μεθ' ὅλης ἡμῶν τῆς προθυμίας πρὸς πάντα τὰ ἐπείσακτα καὶ ἀλλότρια τῶν ἠθῶν καὶ ἐθίμων τοῦ ἁγνοῦ ἐθνικοῦ ἡμῶν βίου, καὶ διὰ τοῦτο· «Ἐοίκαμεν, κατὰ τὸν Μ. Βασίλειον, νεφέλαις πρὸς τὰς μεταβολὰς τῶν πνευμάτων φερομέναις». Ἐγεννήθη τάσις μεγάλη πρὸς πᾶν ἀλλοπρόπαλλον νεώτερον, καὶ ἀμέλεια πρὸς τὴν θρησκείαν τῶν Πατέρων ἡμῶν, ἀνάγνωσιν τῶν θείων Γραφῶν, καὶ κατανόησιν αὐτῶν διὰ τῆς μελέτης τῶν συγγραμμάτων τῶν τῆς Ἐκκλησίας διδασκάλων. Τίνος ἕνεκα; ὅτι οἱ μὲν τὰ δοκοῦντα πρὸ τῶν ὄντων θηρεύουσι, οἱ δὲ τὸ αὐτίκα μάλα τοῦ μικρὸν ὕστερον συνοίσοντος προτιμῶσι. Ἀλλ', ὡς ἔοικεν, ῥέπομεν ἐπὶ τὰ ἔνδοξα μᾶλλον, κἂν ἐναντία τυγχάνῃ ἤπερ ἐπὶ τὴν ἀλήθειαν· αὐστηρὰ γάρ ἐστι καὶ σεμνή. «Ἀποπίπτουσιν ἄρα τοῦδε τοῦ ὕψους οἱ μὴ ἑπόμενοι Θεῷ, ἐὰν ἡγῆται· ἡγεῖται δὲ κατὰ τὰς θεοπνεύστους Γραφάς. Μυρίων γοῦν ὄντων κατ' ἀριθμὸν ἃ πράττουσιν ἄνθρωποι, σχεδὸν δύο εἰσὶν ἀρχαὶ πάσης ἁμαρτίας, ἄγνοια καὶ ἀσθένεια· ἄμφω δὲ ἐφ' ἡμῖν, τῶν μήτε ἐθελόντων μανθάνειν, μήτε αὖ τῆς ἐπιθυμίας κρατεῖν. Τούτων δὲ δι' ἣν μὲν οὐ καλῶς κρίνουσι, δι' ἣν δὲ οὐκ ἰσχύουσι τοῖς ὀρθῶς κριθεῖσιν· οὔτε γὰρ ἀπατηθείς τις τὴν γνώμην δύναιτ' ἂν εὖ πράττειν, κἂν πάνυ δυνατὸς ᾖ τὰ γνωσθέντα ποιεῖν· οὔτε καὶ κρίνειν τὸ δέον ἰσχύων ἄμεμπτον ἑαυτὸν παράσχοιτ' ἂν ἐν τοῖς ἔργοις ἐξασθενῶν. Ἀκολούθως τοίνυν δύο τῷ γένει καὶ παραδίδονται πρόσφοροι ἑκατέρα τῶν ἁμαρτιῶν· τῇ μὲν ἡ γνῶσίς τε καὶ ἡ τῆς ἐκ τῶν Γραφῶν μαρτυρίας ἐναργὴς ἀπόδειξις, τῇ δὲ ἡ κατὰ Λόγον ἄσκησις, ἐκ πίστεώς τε καὶ φόβου παιδαγωγουμένη. Ταὐτὶ μὲν ἀποστρέψαι βουλόμενος τῆς εἰς τὰς αἱρέσεις εὐεμπτωσίας τοὺς φιλομαθοῦντας, παρεθέμην· τοὺς δὲ τῆς ἐπιπολαζούσης, εἴτε ἀμαθείας, εἴτε ἀβελτερίας, εἴτε καχεξίας, εἴθ' ὅ,τι δήποτε χρὴ καλεῖν αὐτὴν, ἀποπαῦσαι γλιχόμενος, μεταπεῖσαι δὲ καὶ προσαγαγεῖν τῇ ἀληθείᾳ, τούς γε μὴ παντάπασιν ἀνιάτους, ἐπιχειρῶν, τοῖσδε συνεχρησάμην τοῖς λόγοις. Εἰσὶ γαρ οἳ οὐδὲ ἀνέχονται τὴν ἀρχὴν ἐπακοῦσαι τῶν πρὸς τὴν ἀλήθειαν προτρεπόντων, καὶ δὴ φλυαρεῖν ἐπιχειροῦσι, βλασφήμους τῆς ἀληθείας καταχέοντες λόγους, σφίσιν αὐτοῖς τὰ μέγιστα τῶν ὄντων ἐγνωκέναι συγχωροῦντες, οὐ μαθόντες, οὐ ζητήσαντες, οὐ πονήσαντες, οὐχ εὑρόντες τὴν ἀκολουθίαν· Οὓς ἐλεήσειεν ἄν τις ἢ μισήσειεν τῆς τοιαύτης διαστροφῆς. Εἰ δέ τις ἰάσιμος τυγχάνει, φέρειν δυνάμενος ὡς πῦρ ἢ σίδηρον τῆς ἀληθείας τὴν παῤῥησίαν, ἀποτέμνουσαν, καίουσαν τὰς ψευδεῖς δόξας αὐτῶν, ὑπεχέτω τὰ ὦτα τῆς ψυχῆς». (α)

«Ἔσται δὲ τοῦτο, ἐὰν μὴ ῥαθυμεῖν ἐπειγόμενοι, ἀποδιωθῶνται τὴν ἀλήθειαν, ἢ δόξης

(α) Κλημ. Ἀλεξ. τομ. Θ'. 540—548.

ὀριγνώμενοι, καινοτομεῖν βιάζωνται· ῥᾳθυμοῦσι μὲν γὰρ οἱ, παρὸν τὰς οἰκείας ταῖς θείαις Γραφαῖς ἐξ αὐτῶν τῶν Γραφῶν πορίζεσθαι ἀποδείξεις, τὸ παράπαν καὶ ταῖς ἡδοναῖς αὐτῶν συναιρούμενον ἐκλεγόμενοι. Δόξης δὲ ἐπιθυμοῦσιν, ὅσοι τὰ προσφυῆ τοῖς θεοπνεύστοις λόγοις ὑπὸ τῶν μακαρίων Ἀποστόλων τε καὶ διδασκάλων παραδιδόμενα, ἑκόντες εἶναι σοφίζονται, δι' ἑτέρων παρεγχειρήσεων, ἀνθρωπείαις διδασκαλίαις ἐνιστάμενοι θείᾳ παραδόσει ὑπὲρ τοῦ τὴν αἵρεσιν συστήσασθαι. Τίς γὰρ ὡς ἀληθῶς ἐν τηλικούτοις ἀνδράσι, κατὰ τὴν Ἐκκλησιαστικὴν λέγω γνῶσιν, ὑπελείπετο λόγος, (αἱρετικοῦ φέρε εἰπεῖν, ἢ νεωτεριστοῦ,) τὴν ὀρθὴν οὐ βαδιζόντων ὁδόν; Οὐ γὰρ ἂν ὑπερέβαλον σοφίᾳ τοὺς ἔμπροσθεν ἄνδρας, ὡς προεξευρεῖν τι τοῖς ὑπ' ἐκείνων ἀληθῶς ῥηθεῖσιν· ἀλλ' ἀγαπητὸν ἦν αὐτοῖς, εἰ τὰ προπαραδεδομένα μαθεῖν ἠδυνήθησαν. Ὁ χριστιανὸς ἄρα φιλόσοφος μόνος, ἐν αὐταῖς καταγηράσας ταῖς Γραφαῖς, τὴν ἀποστολικὴν καὶ Ἐκκλησιαστικὴν σώζων ὀρθοτομίαν τῶν δογμάτων, κατὰ τὸ Εὐαγγέλιον ὀρθότατα βιοῖ, τὰς ἀποδείξεις, ἃς ἂν ἐπιζητήσῃ, ἀνευρίσκει ἀναπεμπόμενος ὑπὸ τοῦ Κυρίου, ἀπό τε νόμου καὶ προφητῶν. Ὁ βίος γάρ, οἶμαι, τοῦ χριστιανοῦ φιλοσόφου οὐδὲν ἄλλο ἐστὶν ἢ ἔργα καὶ λόγοι τῇ τοῦ Κυρίου ἀκόλουθοι παραδόσει. Ἀλλ' οὐ πάντων ἡ γνῶσις. Οἱ τοίνυν τῶν ἀσεβῶν ἁπτόμενοι λόγων, ἄλλοις τε ἐξάρχοντες, μηδὲ εὖ τοῖς λόγοις τοῖς θείοις, ἀλλὰ ἐξημαρτημένως συγχρώμενοι, οὔτε αὐτοὶ εἰσίασιν εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν, οὔτε οὓς ἐξηπάτησαν ἐῶσι τυγχάνειν τῆς ἀληθείας· ἀλλ' οὐδὲ τὴν κλεῖν ἔχοντες αὐτοὶ τῆς εἰσόδου, ψευδῆ δέ τινα, καὶ ὥς φησιν ἡ συνήθεια, ἀντικλεῖδα, δι' ἧς οὐ τὴν αὐλαίαν ἀναπετάσαντες, ὥσπερ ἡμεῖς διὰ τῆς τοῦ Κυρίου παραδόσεως εἰσίεμεν, παράθυρον δὲ ἀναταμόντες, καὶ διορύξαντες λάθρα τὸ τειχίον τῆς Ἐκκλησίας, ὑπερβαίνοντες τὴν ἀλήθειαν, μυσταγωγοὶ τῆς τῶν ἀσεβῶν ψυχῆς καθίστανται». (α)

Ὅθεν ἄνευ τῆς πρώτης καὶ θεμελιώδους ἀρχῆς τῆς ἁγιωτάτης ἡμῶν πίστεως μάταια τὰ πάντα καὶ κενά. Ἡ δὲ ἐπείσακτος καὶ ξένη ἀνατροφὴ τῶν τέκνων, ἐναντία τοῖς ἐμφύτοις σεμνοῖς καὶ ἤθεσι καὶ ἐθίμοις κινδυνεύει ποιῆσαι ἡμᾶς ἐκφύλους τῶν πατρίων. Ἐκ δὲ ταύτης καὶ τοιαύτης ἀπαδούσης τῇ ὑγιαινούσῃ Εὐαγγελικῇ διδασκαλίᾳ, τῆς μᾶλλον ἠθοφθόρου καὶ λαοφθόρου ἐπεισάκτου ἀνατροφῆς, καὶ ἀναστροφῆς, ἰδοὺ, ἀδελφοὶ, τὰ καλὰ ἀποτελέσματα: ψυχρότης καὶ ὄκνος, κόρος καὶ προσοχθισμὸς περὶ τὴν πάτριον εὐσέβειαν, τὴν καὶ ἔθνος καὶ γλῶσσαν διασώσασαν. Πώρωσις καὶ φίμωσις συνειδήσεως. Αὐθάδεια καὶ ἀσχημοσύναι περὶ τοὺς γεννήτορας, περὶ τοὺς πρεσβυτέρους καὶ σοφωτέρους· μισαδελφίαι, ἀπιστίαι, κακουργίαι, σαρκολατρεία, θνητόψυχος ὑλοπάθεια. Πάντες ἐν πᾶσι καθ' ἑαυτοὺς σοφοί. Πάντες συζητηταί. Πολλοὶ δὲ παιδείαν, ἐλευθερίαν, χρηστὰ ἤθη νομίζουσι τὸν δόλον, τὴν ἀπάτην, καὶ τὴν πρὸς ἀλλήλους καταφρόνησιν· ἵνα μὴ σέβηται ὁ νεώτερος τὸν πρεσβύτερον, ὁ ὑποδεέστερος τὸν ἀνώτερον, ὁ ἀμαθὴς τὸν πεπαιδευμένον· ἵνα ὦσιν ὑπὲρ τὸ μέτρον φιλόνεικοι, αὐστηροὶ κριταὶ, εἴτε πρὸς ἥττονας, εἴτε πρὸς ἴσους, ἢ καὶ πρὸς κρείττονας, διὰ λοιδοριῶν, ὕβρεων, βωμολοχίας. Ἠθικὴν δὲ ὑπολαμβάνουσι τὴν θωπείαν, τὴν μηχανορραφίαν, τὴν ῥαδιουργίαν· καὶ ὡς μόνην ῥητορικὴν δεινότητα θαυμάζουσι ταῦτα, καὶ ὡς ἔντιμον ζηλοῦσι πολιτικήν. Τὸ φρονεῖν περὶ θρησκείας ἕκαστον, κατὰ τὸ δοκοῦν, τὸ λαλεῖν κατ' αὐτῆς ἀναφανδὸν καὶ ἀσυστόλως, τὸ πράττειν κατὰ τὰς ἀλλοκότους αὐτοῦ δοξασίας, τὸ περιφρονεῖν τας ἱεροτελεστίας, καὶ μηδενὸς σεβασμοῦ ἀξίας λογίζεσθαι τὰς πατρίους καὶ πατροπαραδότους σεμνας συνηθείας ὑπὸ πολλῶν νομίζεται ἐλευθερία καὶ πολιτισμός.

(α) Κλήμ. Ἀλεξ. τομ. Θ'. 541—548.

Ἰδοὺ, ἀδελφοὶ, πῇ φέρει τὸν περιούσιον λαὸν, τὸ ἔθνος τὸ ἅγιον, τὸ περικλεέστατον καὶ εὐγενέστατον, ὁ παράχορδος καὶ ἔκφυλος συρμὸς καὶ πιθηκισμὸς, ἡ μὴ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου ἀνατροφὴ καὶ ἀναστροφὴ τῶν τέκνων ἡμῶν. Πῶς οὖν στῆσαι δυνησόμεθα τὸν χείμαῤῥον τῶν τοιούτων καὶ τηλικούτων δεινῶν τῇ τε σωστικῇ ἡμῶν μητρὶ Ἐκκλησίᾳ καὶ τῷ περιβλέπτῳ ἡμῶν ἔθνει; Ἐὐδηλον δὲ πῶς· ἐὰν ἀντιτάξωμεν τὴν δύναμιν τῆς ὑγιαινούσης εὐαγγελικῆς διδασκαλίας, τῆς ἀρετῆς, καὶ τῆς ἀληθοῦς παιδείας· «ἐὰν ἀναλάβωμεν τὴν πανοπλίαν τοῦ Θεοῦ· ἐὰν στῶμεν περιεζωσμένοι τὴν ὀσφὺν ἡμῶν ἐν ἀληθείᾳ, ἐνδεδυμένοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδεδημένοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης· ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνησόμεθα πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι· ἔχοντες τὴν περικεφαλαίαν τοῦ σωτηρίου, καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ. Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας» (α).

«Οὐκ οἶδα, φησὶν ὁ Πλάτων, ὑπὲρ ὅτου ἄν τις νοῦν ἔχων σπουδάζοι, ἢ ὑπὲρ υἱέως αὐτοῦ, ὅπως ἂν βέλτιστος ἔσται. Μείζων ὁ κίνδυνος ἐν τῇ ὠνῇ τῶν μαθημάτων, ἢ ἐν τῇ ὠνῇ τῶν τροφῶν.» Μεταξὺ τῶν ἐπαγγελλομένων δῆθεν τὸν χριστιανὸν, καὶ τὴν τῶν ἀθώων καὶ ἀκάκων διδασκαλίαν εὑρίσκονται ἄνθρωποι ἐπιμελούμενοι καὶ σπουδάζοντες, ὅπως παρεγκλίνωσι τῆς εὐθείας καὶ σωτηριώδους ὁδοῦ τοὺς ὀρθῶς βαδίζοντας τὰς τρίβους τοῦ Κυρίου· ὅπως ῥυπώσωσι, τρόποις παντοίοις, τὰς ἁπαλὰς τῶν νέων καὶ νεανίδων καρδίας· οἱ μὲν διὰ τῆς φθοροποιοῦ καὶ διαστρόφου αὐτῶν διδασκαλίας· οἱ δὲ διὰ τῶν πονηρῶν καὶ ὀλεθρίων εἰσηγήσεων· ἕτεροι διὰ θελγήτρων καὶ δελεασμάτων τῆς ἐμπαθοῦς καὶ φιληδόνου σαρκὸς, διὰ τῶν ἐμπνεύσεων τῆς ἀπάτης καὶ κενῆς ματαιότητος, διὰ τῶν ἰδίων σκανδαλωδῶν παραδειγμάτων· καὶ ἄλλοι διὰ τῆς μωρᾶς καὶ ληρώδους ἀνατροπῆς τῶν ὑπερφυῶν δογμάτων τῆς θείας ἀποκαλύψεως, διὰ τῆς ὑπεροψίας καὶ ἐπιχλευασίας τῶν εκκλησιαστικῶν παραδόσεων καὶ διατυπώσεων. Πολλοῖς δὲ τὰ τοιαῦτα ἆθλον καὶ ἀγώνισμα, ἵνα παρασύρωσιν ἀπὸ τῆς ὑγιαινούσης εὐαγγελικῆς διδασκαλίας τὸν περιούσιον λαὸν τοῦ Κυρίου. Διὰ ταῦτα καὶ μείζων ὁ κινδυνος ἐν τῇ ὠνῇ τῶν μαθημάτων, καὶ τῆς διδασκαλίας.

Σεβώμεθα λοιπὸν τὴν ἀληθῆ παιδείαν, τῆς οἰκιακῆς εὐδαιμονίας πάροχον, τὴν πρόξενον ἐν τῇ κοινωνίᾳ καὶ τῇ ἀναστροφῇ πίστεως, ἐλπίδος καὶ ἀγάπης, τὴν προαγωγὸν τοῦ εὐγενοῦς Ἑλληνικοῦ ἔθνους. Ἀγαπῶμεν αὐτὴν μετ' εἰλικρινείας· ὑποστηρίζωμεν αὐτὴν λόγῳ τε καὶ ἔργῳ πανταχοῦ καὶ πάντοτε. «Δόξα δὲ, τιμὴ, καὶ εἰρήνη, παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν» (β). Τὰ δὲ εἰς ἀρετὴν καὶ παιδείαν καὶ ὁ Δημιουργὸς ἐποίησεν ἀνδρί τε καὶ γυναικί. Ὁ ἀνὴρ ἐτάχθη ῥυθμίζειν τὴν γυναῖκα· ὡς πρωτεύων, διὰ τοῦ παραδείγματος ἀποφεύγειν ὀφείλει πᾶν σκανδάλου παραίτιον, καὶ τὴν πολυτέλειαν τὴν πολλῶν κακῶν αἰτίαν. Ἀναλαμβάνει δέ τις τὴν προσήκουσαν ἀρχὴν μὴ κατὰ μεῖζον, ἀλλὰ κατὰ τὴν πρόνοιαν, καὶ τὴν προστασίαν καὶ τὴν ἀρετήν. Πᾶν δὲ σῶμα τότε τὴν προσήκουσαν κατέχει τάξιν, ὅταν ἀρίστου τοῦ ἄρχοντος ἐπιτύχῃ. Αἱ γυναῖκες πλεονεκτοῦσι τῶν ἀνδρῶν κατὰ τὴν σεμνότητα, τὴν στοργὴν, τὴν εὐσέβειαν· ἐφ' ᾧ ἐπίσης ἁρμόζει αὐταῖς ἡ νόμιμος διδασκαλία διὰ τῆς ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου ἀνατροφῆς. Κρηπὶς τῶν χρη-

---

(α) Ἐφεσ. ϛ'. 13. Ἑβρ. Δ'. 12. (β) Ῥωμ. β'. 10.

στῶν ἠθῶν καὶ ἐντίμων πολιτῶν αἱ γυναῖκες. Στήριγμα καὶ ὄλεθρος τῆς οἰκίας ἡ γυνή. Γυνὴ χρηστὴ πηδάλιον οἰκίας. Ἐκ τῶν ὧν οὖν οὐκ ἄνευ καὶ ταῖς γυναιξὶν ἡ ἐκπαίδευσις. Ἀλλὰ παιδεία οὐχὶ ἡ ἐπείσακτος, καὶ ἡ τοῦ συρμοῦ, ἀλλ' ἡ ἡμετέρα, ἡ τυγχάνουσα ὁ γνώμων τῆς ἀρετῆς, ὁ διδάσκαλος τῆς οἰκονομίας, καὶ ὁ ἀλάνθαστος ὁδηγὸς τῆς χρηστοηθείας. «Καὶ ἔσται τὰ ῥήματα ταῦτα, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον ἐν τῇ καρδίᾳ σου, καὶ ἐν τῇ ψυχῇ σου, καὶ προβιβάσεις αὐτὰ τοῖς τέκνοις σου, καὶ λαλήσεις ἐν αὐτοῖς καθήμενος ἐν οἴκῳ, καὶ πορευόμενος ἐν ὁδῷ, καὶ κοιταζόμενος, καὶ διανιστάμενος» (α).

Τινὲς δὲ τῶν ἡμετέρων λογίων ποιητικῶν καὶ ῥητορικῶν λόγων μετεσχηκότες, τινὲς δὲ καὶ τῆς Πλάτωνος εὐεπείας ἀπογευσάμενοι, καταφρονοῦσι μὲν τῶν θείων λογίων, ὡς ἥκιστα κεκαλλιεπημένῃ φράσει κεκομψευμένων· οὐκ ἀξιοῦσι δὲ παρ' ἀνδρῶν ἁλιέων μαθεῖν τὴν τοῦ ὄντος ἀλήθειαν. Καὶ τέχνης μὲν ἑκάστης δρεπόμενοι τοὺς καρπούς, τὰς τῶν τεχνιτῶν οὐ περιεργάζονται γλώττας· οὐδὲ γὰρ Ἀττικοὺς εἶναι τοὺς σκυτοτόμους ἀπαιτοῦσιν, ἢ τοὺς χαλκέας, ἢ τοὺς τέκτονας, ἢ τοὺς ζωγράφους, ἢ τοὺς ναυπηγοὺς, ἢ τοὺς κυβερνήτας· ἀλλὰ κἂν Σκύθαι ὦσι, κἂν Σαυρομάται, κἂν Ἴβηρες, κἂν Αἰγύπτιοι, μεθ' ἡδονῆς ἀπολαύουσι τῶν τεχνῶν, μόνην ἀπαιτοῦντες τὴν τούτων ἀκρίβειαν, τὴν δὲ τῶν ἐθνῶν διαφορὰν ἥκιστα δυσχεραίνουσι. Καὶ κιθαριστοῦ μὲν ἀκούοντες τῶν κρουμάτων μόνον ἀπαιτοῦσι τὴν ἁρμονίαν, οὐ μὴν εἰ Ἕλλην ἐστὶν ἢ βάρβαρος ἐπιζητοῦσι μαθεῖν· μόνην δ' ἄρα τῆς ἀληθείας τὴν μάθησιν ἀπεριέργως λαβεῖν οὐκ ἐθέλουσιν, ἀλλ' ἀτιμίαν ὑπολαμβάνουσιν, εἰ βάρβαρος αὐτοὺς ταύτην τὴν γλῶσσαν παιδεύοι· καὶ τοῦτον ἔχουσι τὸν τύφον ἄνδρες οὐδ' εἰς ἄκρον τῆς Ἑλληνικῆς φιλοσοφίας ἐληλακότες, ἀλλ' ὀλίγων τινῶν, τὸ δὴ λεγόμενον, ἄκροις χείλεσι γεγευμένοι, καὶ σμικρὰ ἄττα ἔνθεν κἀκεῖθεν ἠρανισμένοι. «Χαλεπὸν ἡ κενοδοξία· καὶ ἀνόνητοι τῶν ταύτῃ κεκρατημένων οἱ πόνοι». (β) Οἱ δὲ τῶν Ἑλληνικῶν φιλοσόφων περιφανέστατοι, ὧν ἡ μνήμη παρὰ τοῖς ἐλλογίμοις μέχρι καὶ σήμερον πολυθρύλλητος, Φερεκύδης ὁ Σύριος, καὶ Πυθαγόρας ὁ Σάμιος, καὶ Θαλῆς ὁ Μιλήσιος, καὶ Σόλων ὁ Ἀθηναῖος, καὶ μέν τοι καὶ Πλάτων ἐκεῖνος, ὁ Ἀρίστωνος μὲν υἱὸς, Σωκράτους δὲ φοιτητὴς, εὐστομίᾳ δὲ ἅπαντας ἀποκρύψας, οὐκ ὤκνησαν ἕνεκα τοῦ τἀληθὲς ἐξευρεῖν καὶ Αἴγυπτον περινοστῆσαι, καὶ Θήβας τὰς Αἰγυπτίας, καὶ Σικελίαν, καὶ Ἰταλίαν, καὶ ταῦτα οὐ μιᾶς βασιλείας τάδε τὸ τηνικαῦτα ἰθυνούσης τὰ ἔθνη, ἀλλὰ διαφόρων μὲν πολιτειῶν ἐν ταῖς πόλεσιν οὐσῶν, διαφόρων δὲ νόμων. Αἱ μὲν γὰρ δημοκρατίαν, αἱ δὲ ὀλιγαρχίαν ἠσπάζοντο· καὶ οἱ μὲν ἐτυραννοῦντο, οἱ δὲ ἐννόμως ἐβασιλεύοντο. Ἀλλ' ὅμως οὐδὲν αὐτοὺς τούτων ἐπέσχε τῶν κωλυμάτων· παρὰ βαρβάρους ἀνθρώπους δραμεῖν, καὶ μαθεῖν παρ' αὐτῶν, ἅπερ αὐτοὺς ἄμεινον γινώσκειν ἑαυτῶν ὑπελάμβανον.

Οἱ μὲν οὖν διὰ πάσης ἐληλυθότες παιδείας, τοσοῦτον ἔρωτα εἶχον φιλοσοφίας, ὡς καὶ πολέμων καὶ πελαγῶν μεγίστων καταφρονῆσαι, καὶ βαρβάροις ἀνδράσι φοιτῆσαι, καὶ πανταχόθεν συλλέξαι ὅπερ ἀναγκαῖον ἐνόμισαν· Σωκράτης δὲ ὁ Σωφρονίσκου, τῶν φιλοσόφων ὁ ἄριστος, οὐδὲ παρὰ γυναικῶν μαθεῖν τι χρήσιμον ὑπέλαβε φιλοσοφίας ἀνάξιον. Τούτων δέ γε οἱ πλεῖστοι μὲν οὐδὲ τὴν μῆνιν ἴσασι τὴν Ἀχιλλέως, ἐξ ἧς ἄρχεσθαι τῶν ἐλλογίμων μαθημάτων εἴωθε τὰ μειράκια. Οἱ δὲ ὀλίγα μὲν παρὰ ποιητῶν, ὀλίγα δὲ παρὰ ῥητόρων ἐρανισάμενοι, τῶν δέ γε φιλοσόφων οὐδὲ αὐτὰς τὰς προσηγορίας μεμαθηκότας, πλὴν δυοῖν ἢ τριῶν τῶν ἐπισήμων, βάρβαρον μὲν τὴν θείαν Γραφὴν ὀνομάζουσι,

---

(α) Δευτερ. ϛ'. 2. 6. (β) Ἡσιδ. ΠΗ'. 920.

μαθεῖν δὲ τἀληθὲς παρὰ ταύτης αἰσχρὸν ὑπειλήφασιν. Ἐξ ἀνοίας δὲ αὐτοῖς τὸ τῆς ἀλαζονείας ἐπιγίνεται πάθημα. Εἰ γὰρ τὰς Ἑλληνικὰς ἀνεγνώκεισαν ἱστορίας, ἔγνωσαν ἂν ὁπόθεν, ὡς καὶ τὰς περιφανεῖς, καὶ τῶν τεχνῶν τὰς πλείστας, παρὰ βαρβάρων ἐπαιδεύθησαν Ἕλληνες. Εἰ δὲ καὶ τὰς τέχνας, καὶ τὰς ἐπιστήμας, καὶ τῶν δαιμόνων τὰς τελετας, καὶ τὰ πρῶτα στοιχεῖα παρὰ βαρβάρων ἐδιδάχθησαν Ἕλληνες, καὶ ἐπὶ τοῖς διδασκάλοις ἐναβρύνονται, τί δήποτε ὑμεῖς, οὐδὲ συνιέναι τα ὑπ' ἐκείνων συγγεγραμμένα δυνάμενοι παραιτεῖσθε μαθεῖν τὴν ἀλήθειαν παρὰ ἀνδρῶν θεόσδοτον σοφίαν εἰσδεξαμένων; Ἔπειτα δὲ καὶ ἑτέρωθεν ἐξελέγχεσθε οὐκ ὀρθῶς προτιθέντες τῆς ἀληθείας τὴν εὐέπειαν. «Οὐ μέντοι, νὴ Δία, ὦ ἄνδρες Ἀθηναῖοι, φησὶν ὁ Πλάτων, κεκαλλιεπημένους γε λόγους, ὥσπερ οἱ τούτων, ῥήμασί τε καὶ ὀνόμασιν, οὐδὲ κεκοσμημένους, ἀλλ' ἀκούσεσθε εἰκῇ λεγόμενα τοῖς ἐπιτυχοῦσιν ὀνόμασι.» Καὶ μετ' ὀλίγα δὲ, ταῦτα πάλιν προστέθεικε· «Καὶ νῦν ὑμῶν τοῦτο δέομαι δίκαιον, ὥς γέ μοι δοκῶ, τὸν σκοπὸν τῆς λέξεως ἐᾶν· αὐτὸ δὲ τοῦτο σκοπεῖν, καὶ τούτῳ τὸν νοῦν προσέχειν, εἰ δίκαια λέγω.» Φιλοσόφους δὲ καλεῖ ὁ Πλάτων μόνους τοὺς τῆς ἀληθείας φιλοθεάμονας.

Πῶς ἄντις ἀληθέστερόν τε καὶ σαφέστερον τὴν νῦν δὴ κατέχουσαν ἀπαιδευσίαν ἐξελέγχοι καὶ οἴησιν; Τῶν γαρ δὴ φιλοσόφων ὁ κολοφὼν οὐκ ἐν μαθήσει γραμμάτων, ἀλλ' ἐν ἀληθείας γνώσει τὴν σοφίαν ὁρίζεται· καὶ τοὺς μὲν ταύτην ἐπισταμένους, κἂν μηδὲ τὰ πρῶτα στοιχεῖα γινώσκοιεν, ὀνομάζει σοφούς· τοὺς δὲ διὰ πάσης ἐληλυθότας παιδείας, ἀληθείας δὲ καὶ δικαιοσύνης τὴν ἐπιστήμην οὐκ ἔχοντας, ἀποκρίνει καὶ ἐξελαύνει καὶ ἄρχειν οὐκ ἐπιτρέπει. Πρὸς δὲ τούτοις ἐπιλέγει καὶ ταῦτα· «Ἡ μὲν γαρ τούτου γνῶσίς τε καὶ ἀρετὴ ἀληθινή· ἡ δὲ ἄγνοια καὶ κακία, ἐναργής· αἱ δὲ ἄλλαι δεινότητες, δοκοῦσαι καὶ σοφίαι γίνεσθαι, ἐν μὲν πολιτείαις καὶ δυναστείαις γιγνόμεναι, φορτικαὶ, ἐν δὲ τέχναις, βάναυσοι.» Οὕτως ἄρα ἤδεσαν ἀκριβῶς, καὶ οἱ πᾶσαν λόγων ἰδέαν μεμαθηκότες, ὁπόσον ἡ ἀλήθεια ῥημάτων τε καὶ ὀνομάτων τιμαλφεστέρα, καὶ ὡς οὐδὲν ταύτην λωβᾶται τῆς τοιαύτης κομψείας, ἡ ἄγνοια (α). Ἀλλὰ τινὲς, ὥσπερ τις φθορεὺς καὶ λυμεὼν ἄνθρωπος, μετασχηματίζονται, ἐπαν βουληθῶσιν ἀποδυσκολῆσαί τινα τῶν ἀκάκων καὶ ἀθώων ἀπὸ τῆς ἀληθείας καὶ τῆς πατροπαραδότου εὐσεβείας, καὶ ἑαυτῷ οἰκειῶσαι, οὐκ εὐθὺς ἐπαινοῦσι τὰ ἑαυτῶν· καὶ γὰρ οἴδασιν, ὅτι οὐ παραδέξονται· ἀλλα πρῶτον διαβάλλουσι τὰ σωτήρια παραγγέλματα καὶ τὰς πατρικὰς νουθεσίας, ὡς οὐδὲν ὄντα, οἰκεῖα δὲ μᾶλλον ἀμαθέσι δῆθεν, καὶ οὕτω λαβόντες πειθηνίους τοὺς ἁπλοῦς καὶ ἀδεεῖς, κατάγουσιν εἰς τὸ οἰκεῖον βάραθρον. Φάρμακον δὲ πάντων τούτων ἀλεξιτήριον, καὶ παντὸς ἐν ἡμῖν ἀγαθοῦ, μόναι αἱ θεῖαι Γραφαὶ, αἱ ἀλάνθαστοι καὶ ἀπλανεῖς ὁδηγοὶ καὶ διδάσκαλοι.

Ἑαυτοῖς, ὦ σοφὲ, λέγει ὁ ἱερὸς Ἰσίδωρος, ἀδοξίαν προστρίβονται, καὶ τὸ ἐξεστηκέναι τῶν ὀρθῶν λογισμῶν ὑποφαίνουσιν, οἱ καὶ τὸ τοῖς ὀρθῶς λεγομένοις ἀντιλέγειν σοφίαν εἶναι οἰόμενοι· σοφὸν γὰρ τἀληθὲς, μάλιστα ὅταν ἁπλοῦν ᾖ καὶ σύντομον· δεινὸν δὲ καὶ μωρὸν τὸ ψεῦδος, κἂν δεινότητι καὶ καλλιεπείᾳ δοκῇ κεκοσμῆσθαι. Διὰ τί, ὦ ἐλλογιμώτατε, συνεχῶς τοῖς φοιτῶσι παισὶ τὰ περὶ ἀρετῆς καὶ σωφροσύνης οὐ παραινεῖς καὶ ἀναγινώσκεις συγγράμματα λέγων: ὦ παῖδες, ἔστω ὑμῖν μὴ πόνος μόνος ὁ περὶ λόγους, ἀλλὰ καὶ κόσμος ὁ περὶ τρόπους τὸ σπούδασμα. Ψυχὴ γαρ καθαρα κακίας, παιδείαν εἰλικρινῆ προσίεται, καὶ παρ' οἷς ἂν ἡ σωφροσύνη λάμπῃ, τὸ τῶν ἀρετῶν τιμιώτατον. Εἰ γὰρ καὶ σωφροσύνη πᾶν τὸ ἀναμάρτητον, ἀλλὰ νέμουσιν αὐτῆς τὴν προσηγορίαν εὖ ποιοῦντές τινες τῷ τῆς ἁγνείας πράγματι, κοσμιωτάτῳ ὄντι, καὶ ἐξοχωτάτῳ τῶν ἄλλων. Τούτοις καὶ ἡ σοφία συνοικήσει· ἂν γὰρ ἡγεμόνι χρῆσθαι πρὸς ἅπαντα ταύτῃ τῇ ἀρετῇ θελήσητε,

(α) Θεοδωρ. ΠΓ'. 792—825.

ὑμεῖς μὲν γενήσεσθε ἄνδρες ἀγαθοὶ καὶ μακάριοι, ἐγὼ δὲ ἐφ' ὑμῖν οὐ μεῖον, ἢ οἵπερ ἐγέννησαν, ἀμείνω δόξαν καρπώσομαι. Οὐκ οἶδας, ὦ διδάσκαλε, ὅτι εἰκότως γίγνεται τὸ τῆς τιμῆς μέγεθος μείζονος τιμωρίας ἐφόδιον; Ὅτι τὰ μὲν τῶν μαθητῶν πταίσματα, οὐκ εἰς τὸ κοινὸν τοσοῦτον, ὅσον εἰς αὐτοὺς φέρει τὴν βλάβην, τὰ δὲ τῶν διδασκάλων εἰς πάντας ἀφικνεῖται; Οἱ γὰρ μαθηταὶ τὰ μὲν κατορθώματα κἂν μεγάλα ᾖ, βραδέως, τὰ δὲ πταίσματα κἂν μικρὰ ᾖ, ὀξέως ὁρῶσιν· οἱ ῥαθύμως ζῶντες, καὶ μηδεμίαν τῶν μαθητῶν ποιούμενοι πρόνοιαν, ποίαν οὐκ ἐνστάζουσιν κακίαν τοῖς ὥσπερ ἀπολογίαν ἔχειν οἰομένοις τῶν οἰκείων πταισμάτων, τὰ τῶν διδασκάλων ἁμαρτήματα; ὥσπερ οἱ τοῖς ἑαυτῶν παισὶν ἔτι νηπίοις οὖσιν ἐγκατεσπείροντες πρῶτον μὲν τὸν περὶ τῆς θείας ὑπεροχῆς τε καὶ προνοίας λόγον· δεύτερον δὲ τὸν περὶ ἀρετῆς τρόπον, οὗτοι οὐ μόνον γονεῖς, ἀλλὰ καὶ διδάσκαλοι ἄριστοι τυγχάνοντες τεύξονται θείων ἀμοιβῶν. Οἱ δὲ πολυφασίαν καὶ κακίαν αὐτοῖς καταφυτεύσαντες, ἅτε θύσαντες αὐτῶν τὰ τέκνα τοῖς δαίμοσιν, ἄξια κομιοῦνται τὰ ἐπίχειρα (α).

«Καθάπερ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν· τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν, οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ· ὁ δὲ καθεὶς ἀλλήλων μέλη.» Καὶ πάλιν· «Ὀφείλομεν ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν· καὶ μὴ ἑαυτοῖς ἀρέσκειν· ἕκαστος ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν.» «Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ». «Ἀδελφοί, ἐὰν καὶ προσληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραότητος· σκοπῶν μὴ καὶ σὺ πειρασθῇς· ἀλλήλων τὰ βάρη βαστάζετε· καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ». Ὅπου ζῆλος καὶ ἐρίθεια, ἐκεῖ ἀκαταστασία καὶ πᾶν φαῦλον πρᾶγμα». «Πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἀνθρωποκτόνος ἐστί.» «Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους». (β) Πόθεν οὖν ταῦτα πάντα ἔχομεν ἀποδεῖξαι, εἰ μὴ ἐκ τῶν θείων Γραφῶν, ὡς καὶ οἱ πρὸ ἡμῶν θεῖοι Πατέρες; Ταῦτα ἐκ πολλῶν χάριν παραδείγματος προὐθέμεθα, ἵνα γνῶτε ὡς ἡ θεία Γραφή ἐστιν ἡ φωτίζουσα ἡμᾶς. Καὶ διὰ τοῦτο ἀγαπᾷν δεῖ τὰς ἱερὰς βίβλους, καὶ ἀσπάζεσθαι, καὶ κτᾶσθαι, καὶ συνεχῶς ἀναπτύσσειν, καὶ τὰ ἐν αὐταῖς ἀκριβῶς διέρχεσθαι, καὶ ἐν τῷ νῷ ἀποτίθεσθαι· ἵν' ὅταν δέῃ ἔχωμεν αὐτὰ εἰς βοήθειαν.

Ἔτι νῦν λαλήσω περὶ τῶν ψευδοπροφητῶν, καὶ ψευδοδιδασκάλων καὶ αἱρετικῶν, περὶ ὧν ὁ Ἀπόστολος ἔλεγε· «Πονηροὶ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι. Οἶδα δὲ, ὡς φιλόθεοι, καὶ ἐπίστασθε καὶ μέμνησθε περὶ ὧν πολλάκις ὑμᾶς ὑπέμνησα, καὶ μάλιστα οἱ φιλόπονοι, καὶ φιλόβιβλοι, καὶ φιλόχριστοι. Ὁ γὰρ φιλόβιβλος δικαίως ἂν ἐκλήθη φιλόχριστος, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Δεσπότου, ὅτι ὁ ἀγαπῶν με, τοὺς λόγους μου τηρεῖ. Ὁ ἀγαπῶν με ἐν τῷ νόμῳ μελετήσει ἡμέρας καὶ νυκτός· δηλονότι ἐν Εὐαγγελίῳ καὶ ἐν ταῖς λοιπαῖς Γραφαῖς. Βλέπετε ἑαυτοὺς, ἵνα μὴ ἀπολέσητε ἃ εἰργάσασθε. Βλέπετε τοὺς κακοὺς ἐργάτας· ὅτι πολλοὶ πλάνοι ἐξῆλθον εἰς τὸν κόσμον. Ὦ πόσων καὶ πηλίκων γραμμάτων ἀκούοντες οὐ συνιοῦμεν! Ὅθεν καὶ ἀναπολόγητοι ἐσόμεθα ἐν τῇ ἡμέρᾳ τῆς διαγνώσεως, ὅταν ἔλθῃ ὁ φωτίζων τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερῶν τὰς βουλὰς τῶν καρδιῶν· ὅταν τὸ κριτήριον καθίσῃ, καὶ βίβλοι ἀνοιχθῶσιν, ἃς νῦν χλευάζομεν ἀκούοντες, καὶ οὐ παραδεχόμεθα. Ἕκαστος γὰρ ἡμῶν τῇ ἰδίᾳ ὁδῷ ἐπλανήθημεν, καταλείποντες τὴν εὐθεῖαν ὁδὸν, καὶ ἐγενόμεθα ὡς τὸ ἀπ' ἀρχῆς, ὅτε οὐκ ἦρχες ἡμῖν, Κύριε. Καὶ ἀληθῶς εἰς ἡμᾶς ἐπληρώθη ἡ

(α) Ἰσ. δ'. ΟΗ'. 1520. 1521. 1529. (β) Ῥωμ. ΙΒ'. 4. 5. ΙΕ'. 1—4. 7. Α'. Κορ. 10. 33. 32. Γαλ. ς'. 1. 2. Ἰακ. Γ'. 16. Α'. Ἰω. β'. 6. γ'. 15. ιγ'. 34.

προφητεία Δαυὶδ λέγουσα· Καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι, καὶ ἔμαθον τὰ ἔργα αὐτῶν. Διὰ τοῦτό ἐσμὲν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ εἰς ἡμᾶς κατήντησε τὰ τέλη τῶν αἰώνων, ὡς γέγραπται· καὶ οἱ ποιμένες λύκοι, καὶ τὰ πρόβατα συντετριμμένα· καὶ ὁ λιμὸς ἐπὶ θύραις, οὐ λιμὸς ἄρτου καὶ δίψα ὕδατος, ἀλλὰ λιμὸς τοῦ ἀκοῦσαι λόγον Θεοῦ.

Μηδεὶς οὖν τῶν ἐλπιζόντων ἐπὶ Κύριον ἀπογινωσκέτω. Μὴ οὖν ἀθυμεῖτε, προορῶντες πάντοτε τὸν εἰπόντα, ὅτι «Μεθ' ὑμῶν εἰμι· θαρσεῖτε οὖν· οὐ γὰρ λιμοκτονήσει Κύριος ψυχὰς δικαίων. Ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν. Ἐρευνήσωμεν τὰς Γραφὰς, ἀδελφοὶ, ἵνα μὴ πεινάσωμεν, ἐλθόντος τοῦ ψυχοφθόρου λιμοῦ. Ἐρευνήσωμεν, ἵνα μὴ πλανηθῶμεν, καὶ περιφερώμεθα παντὶ ἀνέμῳ. Διό φησιν ὁ Κύριος πρὸς τοὺς ἀμελοῦντας· πλανᾶσθε, μὴ νοοῦντες τὰς Γραφάς. Ἀληθῶς γὰρ οἱ τοιοῦτοι πλανῶνται. Πόθεν γὰρ ὁ ψυχοκτόνος ἐπῆλθε λιμός; οὐχὶ ἐκ τοῦ μὴ ἐρευνᾷν τὰς Γραφάς; ὦ πόσων ἀγαθῶν ἑαυτοὺς ἀπεστερήσαμεν, καταλιπόντες τὰς θείας Γραφάς! Δεσποτικὸν γὰρ τὸ πρόσταγμα. Ἐρεύνησον ἐμπόνως, ἐρεύνησον καὶ ζήτησον, καὶ εὑρήσεις πολὺν τὸν ἀνήκαστον πλοῦτον, καὶ θησαυρὸν κεκρυμμένον ἐν τῷ ἀγρῷ· νοήσεις τὴν θείαν Γραφὴν, ἐρεύνησον, καὶ εὑρὼν, πάντα ὅσα ἔχεις πώλησον, καὶ ἀγόρασον τὸν ἀγρὸν ἐκεῖνον, τὴν καλὴν γνῶσιν τῶν ἁγίων Γραφῶν, ἐν αἷς κέκρυπται ὁ Υἱὸς, ἡ ἀληθινὴ σοφία τοῦ Πατρός· ὃν εὑρὼν, μακάριος ἔσῃ, καθὼς γέγραπται, ὅτι μακάριος, ὃς εὗρε σοφίαν. Ἐρεύνησον, ἀγαπητὲ, κἂν πλούσιος τυγχάνῃς ἢ πένης, εἴτε δοῦλος, εἴτε ἐλεύθερος, εἴτε ἄῤῥην, εἴτε θῆλυ, ἐρευνᾶτε τὰς Γραφάς. Ἡ γὰρ θεία Γραφὴ ταμεῖόν ἐστι παντὸς ἀγαθοῦ.

Καὶ πόθεν ἡ πλημμύρα τοσούτων ψευδοπροφητῶν, ψευδοδιδασκάλων καὶ αἱρετικῶν, χειμάῤῥων δίκην ἐπικλυσάντων πανταχοῦ, καὶ πλανώντων πολλούς; Δῆλον ὅτι ἐκ τῆς ἀγνωσίας καὶ ἀπειρίας τῶν προϊσταμένων· ὅπου γὰρ ἀπειρία ποιμένων, ἐκεῖ προβάτων ἀπώλεια. Κατὰ τὰς ἁγίας Γραφὰς, οἱ τοιοῦτοι ἐχθροί εἰσι τοῦ Χριστοῦ, καὶ λύκοι τῆς αὐτοῦ ποίμνης, πανταχοῦ ἐλαυνόμενοι καὶ ἐκβαλλόμενοι ὑπὸ τῶν τοῦ Χριστοῦ προβάτων. Διὸ καὶ δικαίως λύκοι ἐκλήθησαν ὑπὸ τῶν προφητῶν καὶ αὐτοῦ τοῦ Δεσπότου, καὶ τῶν μακαρίων Ἀποστόλων, καὶ οὐ μόνον λύκοι ἀλλὰ καὶ λοιμοὶ, καὶ ἀσεβεῖς, καὶ ἀντίδικοι, καὶ ἐχθροὶ, καὶ ἐπίβουλοι, καὶ βλάσφημοι, καὶ ὑποκριταὶ, καὶ κλέπται, καὶ λῃσταὶ, καὶ βδελυκτοὶ, καὶ ψευδοπροφῆται, καὶ ψευδοδιδάσκαλοι, καὶ ὁδηγοὶ τυφλοὶ, καὶ πλανῆται, καὶ πονηροὶ, καὶ ἀντίχριστοι, καὶ σκάνδαλα, καὶ υἱοὶ τοῦ πονηροῦ, καὶ ζιζάνια, καὶ ἄθεοι. Πάνυ δὲ ἀναγκαίως πανταχοῦ εἴρηται ἐν ταῖς Γραφαῖς τὸ, «Βλέπετε, καὶ ὁρᾶτε, καὶ γρηγορεῖτε, καὶ προσέχετε, οὐ μόνον ἑαυτοῖς, ἀλλὰ καὶ παντὶ τῷ ποιμνίῳ (α).

«Ὅσοι τῆς ὄντως πάνυ πως ἀγχιθέου καὶ θεοφιλοῦς ἀθανασίας εἰσὶν ἐρασταὶ, τῆς τε ἐπουρανίου καὶ θεοπρεποῦς πολιτείας λειτουργοὶ τυγχάνουσιν, οὗτοι σκοπὸν ἄριστον ἑαυτοῖς ὁρισάμενοι τὸν πρῶτόν γε τοῦ ἱεροψάλτου Δαυὶδ μακαρισμὸν, τοὺς περὶ τοῦ θείου λόγου λόγους ἐμμελέτημα νύκτωρ τε καὶ μεθ' ἡμέραν τῇ σφῶν τέθεινται ψυχῇ, ἀληθῶς τὸ τῆς ἀγλαοφεγγοῦς καὶ μακαρίας ταύτης τροφῆς ἡμεροτρωθέντες, καὶ τῶν ἐναρέτων αὐτῆς καὶ θείων καρπῶν ἀπογευσάμενοι, τὴν ἅπασαν αὐτῶν ἔννοιαν πάντοθεν συνάγοντες, ἄνω που τὸ λοιπὸν εὐθύμως εἰς αὐτὴν τὴν ἀθανασίαν ἀποβλέπουσι.

Πειθαρχεῖν δὲ Θεῷ χρὴ, καὶ διακονεῖν ἀνθρώποις ἑκάστοτε τὰ πρὸς ὠφέλειαν· Θέμις γὰρ ἡμᾶς τοὺς παρὰ Πατέρων ὠφεληθέντας, χρησίμους ἀεὶ γίνεσθαι τοῖς δεομένοις, ἀποφεύγειν τε εἰκότως τὴν ἐν Εὐαγγελίοις τοῦ φθόνου καταγραφήν. — Ἐγχειροῦμεν μείζοσιν ἢ καθ' ἡμᾶς, καὶ παῤῥησιαζόμεθα. Ἀλλ' ἐν ἀδελφοῖς καὶ πατράσιν ἡ ἀγάπη τὰ πάντα

(α) Χρυσ. κατὰ ψευδοπροφ. καὶ ψευδοδ. τομ. Νθ'. 553—568.

χωρεῖ, οὐδὲν ὑπεροπτικὸν αὐτῇ καθ' ἑαυτῆς εἰς τὸ οἰκεῖον σῶμα ἐπιδεικνυμένη. — Μελέτη δέ τοι ἔργον ὠφελεῖ. Καὶ αὖ πάλιν σοφῶν γε ὁ πανάριστος βιωφελῶς τῇ μελέτῃ τὸ πᾶν ἀνέθηκεν· εἰ γάρ τις ἄττα ταύτης ὀλιγωρείη ποτὲ, αὐτὸς ἑαυτοῦ τὴν θωὴν τοῦ μακαρισμοῦ ἐξ οἰκείας ῥᾳθυμίας κατεψηφήσατο. Μακάριος γάρ, φησὶν, ἀνὴρ, ὃς ἐν νόμῳ Κυρίου μελετήσει ἡμέρας καὶ νυκτός. Τοὺς γὰρ ἅπαντας ἄνωθεν εὔνους τε καὶ θεοσεβεῖς ἐθέλων ὁ Θεὸς εἶναι, πρὸς μελέτην δ' ἑκάστου τὸν νοῦν παροτρύνων τῶν ἰδίων ἐντολῶν ἔφασκεν· «Ἄκουε, Ἰσραὴλ, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν· καὶ ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης καρδίας σου, καὶ ἐξ ὅλης τῆς δυνάμεώς σου· καὶ ἔσται τὰ ῥήματα ταῦτα, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἐν τῇ καρδίᾳ σου, καὶ ἐν τῇ ψυχῇ σου· καὶ προβιβάσεις αὐτὰ τοῖς υἱοῖς σου, καὶ λαλήσεις ἐν αὐτοῖς, καθήμενος ἐν οἴκῳ, καὶ πορευόμενος ἐν ὁδῷ, καὶ κοιταζόμενος, καὶ διανιστάμενος.» Οὕτως ἄϋπνόν τε καὶ ἀΐδιον πρὸς τὴν μελέτην ταύτην ἔχειν ἡμᾶς τὴν διάθεσιν ὁ Θεὸς βούλεται. Ἤδη γοῦν τὴν ἐπὶ ταύτῃ τῇ φυλακῇ τῆς θείας διατάξεως παῤῥησίαν ἔχων ὁ ἱεροψάλτης Δαυὶδ ἔλεγε τῷ Θεῷ, ὅτι ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου ἐστὶ διὰ παντὸς, Κύριε βοηθέ μου καὶ λυτρωτά μου.

Ἔπαθλον τοίνυν ἀναμφήριστον, καὶ ἀναμφίλεκτον τῆς πρὸς τὴν μελέτην τῶν θείων μαθημάτων στοργῆς ἡμῖν ἐστιν ὁ μακαρισμὸς, ὅτι καὶ ῥᾳθυμοῦσι ταύτης ἀναφανδὸν ἕπεται θεόθεν ὁ ταλανισμός. Εἰ γὰρ ἂν ταύτης τινὲς ἀμελήσειεν, πεύσονται, ἃ καὶ μετέπειτα οἱ δείλαιοι πείσονται, ὅτι ἐπικατάρατος πᾶς, ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου, τοῦ ποιῆσαι αὐτά. Οὐκ οὖν ἀπολῆξαί ποτε εἴη, μηδ' ἀπονεῦσαι τῆς πρὸς αὐτὴν εὐσεβοῦς τε καὶ βελτίστης ὁμιλίας· φιλοσυνήθης τε γάρ ἐστιν αὕτη καὶ φιλόστοργος, καὶ λίαν εὐγνώμων, ἐργωδέστερον ἑκάστῳ τὴν ὄνησιν ἀεὶ γὰρ πόνων ἀντιμετρουμένη. Ὅσῳ γὰρ ἄν τις ἐν ἕξει, καὶ γνώσει πλειόνων γίγνεται μαθημάτων, τρὶς τόσον μειζόνων, καὶ σπουδαιοτέρων ὀρέγεσθαι πέφυκε. Καθάπερ γὰρ ἄν τις ἀγχοίνους χειροτέχνης τὸ κάλλιστον τῆς τέχνης εὑράμενος, τὸ λεπτότερον δ' αὖθις ἐξ αὐτῆς περιεργάζηται λοιπὸν, καὶ ζητῇ, μυρίαις ἀεὶ μηχαναῖς τὴν ἑαυτοῦ αὐτὸς ἔννοιαν πρὸς τὸ τελειότερον συνεκτείνων τε καὶ ἁρμοζόμενος· τὸν αὐτὸν δὴ τρόπον ἡμῖν καὶ ἡ τῆς ἀναγνώσεως τυγχάνει χρηστομαθὴς πραγματεία, ὁσημέραι πρὸς θεωρίαν τῆς τῶν καλῶν γνώσεως κατὰ μικρὸν τὴν ψυχὴν ἐξασκοῦσά τε καὶ ἀναβιβάζουσα» (α).

«Ἐμοὶ δὲ δακρύειν ἐπέρχεται, ὅταν ἀκούσω ἀπὸ τῆς ἡμετέρας Ἐκκλησίας τινὰς λέγοντας, μὴ εἰρῆσθαι ταῦτα ἐν ταῖς θείαις Γραφαῖς· καὶ τοῦτο οὐ παρὰ λαϊκῶν μόνον, ἀλλὰ καὶ παρὰ τῶν δοκούντων εἶναι ποιμένων, καὶ τόπους ἐπεφόντων ἀποστόλων καὶ προφητῶν, ἀλλ' οὐ τρόπους· πρὸς οὓς εὔκαιρον εἰπεῖν· οὐαὶ ὑμῖν, οἱ ὁδηγοὶ τυφλοὶ, καὶ ἀμαθεῖς, καὶ ἀστήρικτοι· οἱ ἱματίων καλλωπισταὶ, καὶ οὐχὶ βιβλίων· οἱ καταλιπόντες τὸν λόγον τοῦ Θεοῦ, καὶ τῇ γαστρὶ διακονοῦντες· ὧν ὁ Θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ· οἱ τὸ γάλα καὶ τὸ ἔριον καὶ τὰ κρέα τῆς ποίμνης καταχρώμενοι, περὶ δὲ τῶν προβάτων οὐ φροντίζοντες. Πῶς οὖν ἐκφεύξεσθε τηλικαύτης ἀμελήσαντες σωτηρίας; Ἐταπεινώθη γὰρ καὶ ἐφιμώθη τὸ γαυρίαμα καὶ ἡ θρασύτης τῶν πάλαι αἱρετικῶν καὶ ψευδοδιδασκάλων· διότι εὗρον τοὺς ἀνταγωνιστὰς καὶ γενναίους πολεμιστὰς καὶ ὄντως ποιμένας, τοὺς προϊσταμένους τότε τῶν ἐκκλησιῶν μακαρίους ἄνδρας. Ἀλλὰ πολὺ τὸ διάφορον τῶν τότε ποιμένων παρὰ τῶν νῦν. Ἐκεῖνοι πολεμισταὶ, οὗτοι φυγάδες· ἐκεῖνοι βιβλίων καλλωπισταὶ καὶ δογμάτων, οὗτοι ἱματίων καὶ πολυτελείας· οὗτοι ὡς μισθωτοὶ ἀφιεῖσι τὰ πρόβατα καὶ φεύγουσιν· ἐκεῖνοι τὴν ψυχὴν αὐτῶν ἔθηκαν ὑπὲρ τῶν προβάτων, μι-

(α) Εὐθάλιος τομ. ΠΒ'. 528 κ. ε.

μησάμενοι τὸν ποιμένα τὸν καλόν· ὦ τῶν μακαρίων ἐκείνων ἀνδρῶν, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς· οὓς ἔρριξαν δαίμονες, ἐτρόμαξαν αἱρετικοὶ καὶ ἐρράγη στόμα λαλούντων ἄδικα! Ποῦ Εὐόδιος ἡ εὐωδία τῆς Ἐκκλησίας, καὶ τῶν ἁγίων Ἀποστόλων διάδοχος καὶ μιμητής; Ποῦ Ἰγνάτιος καὶ Πολύκαρπος, τὰ οἰκητήρια τοῦ Θεοῦ; Ποῦ ὁ Διονύσιος τὸ πετεινὸν τοῦ οὐρανοῦ; Ποῦ Ἱππόλυτος ὁ γλυκύτατος; Ποῦ Βασίλειος ὁ οὐρανοφάντωρ καὶ μέγας; Ποῦ οἱ ἀήττητοι στρατιῶται τοῦ Χριστοῦ Γρηγόριοι; Ποῦ Ἀθανάσιος ὁ μέγας καὶ πολύτλας, καὶ τῶν ἀρετῶν πλεονέκτης; Ποῦ τόσοι ἄλλοι θεοφόροι Πατέρες ἡμῶν καὶ Διδάσκαλοι, δυνατοὶ ἐν λόγῳ καὶ ἔργῳ; Καὶ ἐκεῖνοι μὲν τοιοῦτοι καὶ τηλικοῦτοι· τούτων δὲ οὐδεὶς λόγος περὶ τῆς λογικῆς ποίμνης, περὶ ἧς λόγον ἀπαιτηθήσονται ἐν τῇ μεγάλῃ ἡμέρᾳ τῆς κρίσεως. Εἶτα ἐάν τις ἐρωτήσῃ αὐτοὺς περὶ βιβλίων, ἀποκρίνονται λέγοντες· πτωχός εἰμι, καὶ οὐκ εὐπορῶ βιβλία κτήσασθαι· εἶτα προσέρχονται οὐχ ὡς πτωχοί, ἀλλ' ἱμάτια φορροῦντες ἐκστιλβα, βαλάντια κεκτημένοι ἀδρὰ κτλ. εἶτα ἐάν τις ψευδοπροφήτης ἢ ψευδοδιδάσκαλος παραφρονῇ λαλῶν διεστραμμένα, ὁ ἀντιλέγων οὐδείς, ὁ πολεμῶν οὐδαμοῦ· πάντες πτωχοὶ τότε γίνονται, πάντες σιωπητικοί, πάντες φυγάδες.

Ἀνανήψατε λοιπὸν, ἀδελφοὶ, κηρύξατε τὸν λόγον, ἀπορρίψατε πᾶσαν βιωτικὴν μέριμναν, βλέπετε ἀκριβῶς πῶς περιπατεῖτε, ὅτι πολλοὶ πλάνοι ἐξῆλθον εἰς τὸν κόσμον. Ἀγρυπνεῖτε, καὶ νήφετε, καὶ γρηγορεῖτε, οἱ τὸ δεσποτικὸν χάρισμα καταπιστευθέντες. Ταῦτα τοίνυν κατὰ νοῦν ἔχοντες, ὦ ἀγαπητοὶ, ποιμάνετε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ Θεοῦ, ὡς λέγει ὁ Ἀπόστολος, μὴ ἀναγκαστικῶς, ἀλλ' ἑκουσίως, μὴ αἰσχροκερδῶς, ἀλλὰ προθύμως, μηδὲ ὡς κατακυριεύοντες τοῦ κλήρου, ἀλλὰ τύποι γενόμενοι τοῦ ποιμνίου. Καὶ φανερωθέντος τοῦ ἀρχιποίμενος, κομίσεσθε τὸν ἀμαραντινον τῆς δόξης στέφανον». (α)

Ἡ ἀνάγνωσις ἀναγνωρισμός τίς ἐστι τοῖς φιλομαθέσι, καὶ ἰδίᾳ κληρικοῖς καὶ μοναχοῖς. Ἀλλα χρόνου, φησὶ, δέομαι, ἀλλὰ δαπάνης εἰς κτῆσιν βιβλίων. Τί οὖν; ἐν παιδιαῖς βέλτιον ἀναλίσκειν τὸν χρόνον, ἐν μέθαις, ἐν αἰσχρολογίαις, ἐν ὕπνοις, ἐν ὀρχήστραις, ἐν θεάτροις; Τί δὲ καὶ τὰ χρήματα; ἐν τῷ καταχωννύειν, ἢ δαπανᾶν ἐν κώμοις, ἐν βρώμασι περιττοῖς, ἐν τοίχοις, ἐν ἵπποις καὶ κυσίν; Ἀπόδος τι μέρος τῇ ψυχῇ· οὐ λέγω σοι· δὸς ἅπαντα τὸν βίον τῷ διδασκάλῳ· δὸς τὸ δέκατον· μᾶλλον πολλοστόν τι τούτου. Οὐ δυνάμεθα, φασί, πολλῶν ἐμποδὼν ὄντων· μὴ γὰρ νῦν ἐπληθύνθη ἡ πτωχεία; ἐξ ἀρχῆς οὕτως ἦν. Οὐκ Ἰωάννης ὁ Δαμασκηνὸς παρ' αἰχμαλώτῳ διδασκάλῳ ἐφοίτα; Οὐ παρα μονῇ ᾤκει ὑπὸ τῶν βαρβάρων ἐμπρησθείσῃ; βάρβαροι καὶ ἄσπονδοι τὴν χώραν κατεῖχον; Πόθεν εὗρε τοσαῦτα βιβλία τῆς ἔξω καὶ τῆς καθ' ἡμᾶς σοφίας, ὧν ἐν τοῖς αὐτοῦ μέμνηται συγγράμμασιν; Ἢ δῆλον, ὅτι πολλὴ ἦν ἡ σπουδὴ παρὰ τοῖς κατ' ἐκεῖνο καιροῦ ἐν τοῖς λόγοις· ἀλλ' οὐχὶ νῦν. Κατάμαθε ἐκ τοῦ παλαιοῦ νόμου, ὅπως οἱ ἱερεῖς καὶ οἱ Λευῖται, ὑπηρέται ὄντες τοῦ νόμου· ἤτοι τοῦ λόγου καὶ τοῦ ναοῦ, ἐκ τῶν ἀδελφῶν αὐτῶν μετ' εὐπορίας εἶχον ἅπασαν ζωάρκειαν· ἔκ τε τῶν δεκατῶν δηλαδὴ, ἐκ τῶν πρωτοτόκων, ἐκ τῶν απαρχῶν, ἐκ τῶν θυσιῶν, ἐκ τῶν δώρων. Ἤδη δὲ τοὐναντίον ἅπαν γίνεται. Οἱ μὲν λόγου μετέχοντες ἐστήκασι κάτω, πάντων ἀπορροῦντες· ὅσοι δὲ ἀγύρται καὶ δουλοπρεπεῖς σπαταλῶσιν, εἰς θρόνους ἀνάγονται καὶ χρήματα πάντοθεν ἀποθησαυρίζουσιν εἰς δέον οὐδέν· οὐ θέλουσιν ἰδεῖν φιλοσοφοῦντας, ἔλεγχον τοῦτο νομίζοντες τῆς ἑαυτῶν ἀνομίας· λήρους ἀποκαλοῦσι τοὺς τοιούτους, ἀκαταστάτους, ἀνυποτάκτους, ὀλιγοψύχους, ὅτι τούτοις οὐχ ὑποτάσσονται ἐν ταῖς μωρίαις αὐτῶν. Οὐκ ἀρκεῖ αὐτοῖς περιπατεῖν ἐν σκότει, ἀλλὰ καὶ ἑτέρους βιάζονται. Εἰ δέ πού τις τῶν ἐν τοῖς μοναστηρίοις ἡγουμένων εὐρεθείη εὐγνώμων· καὶ προθυμεῖται ἀναπαῦσαί τινα τὸν μᾶλλον εἰδότα, πάντες σκανδαλίζονται ἐπὶ τοῦτο μᾶλλον ἢ ἐπ' ἄλλο τι· ἐπικρίνουσι, φθονοῦσι, συγχέονται· ἵνα τί τοῦτο; λέγοντες· τί οὗτος ἡμῶν ὑπερέχει; ὅτι οὕτως ἀξιό-

(α) Χρυσος. κατὰ ψευδοπ. καὶ ψευδοδ. τόμ. ΝΘ'. 553—568.

ται; Τοιοῦτός ἐστι καὶ τοιοῦτος. Τὰ ἑαυτῶν ἀφέντες ἅπαντα, μόνον τὰ τούτου περιεργάζονται, τὰ αὐτοῦ φαντάζονται ἐλαττώματα, ἐνεδρεύουσιν ὡς δύσχρηστον αὐτοῖς καὶ ἐναντίον· ἐσθ' ὅτε καὶ ἐνώπιον αὐτοῦ κατηγοροῦσι, καὶ πάντα ποιοῦσι, μέχρις αὐτὸν ἀνάστατον ποιήσουσιν. Εἶτα ἐπιγελῶσι λέγοντες· ὁρᾷς τὸν ἀκατοίκητον; Οὕτω διὰ τὸ εἶναι αὐτὸν τοιοῦτον καὶ τοιοῦτον, ὅπου περ ἂν ἀπέλθῃ, οὐ κατοικῆσαι ἔχει. Καὶ ἀντὶ τοῦ εἰπεῖν αὐτῶν τινα· εἴθε ἠδυνάμην αὐτὸν ἀναπαῦσαι· φησὶ μετ' ἐμβριμήματος· εἴθε εἶχον αὐτὸν ἐν σιδήροις, ἐν κώπῃ, ἐν εἱρκτῇ, εἴπερ ἐξουσίαζον αὐτοῦ, εἶχον ἂν αὐτὸν παιδεῦσαι μὴ μεταβαίνειν. Φεῦ τῆς ἀποτομίας καὶ ἀπανθρωπίας!

Τίς οὐ μελαγχολήσει ἀκούων ταῦτα; Διὰ ταῦτα ὀλίγοι καὶ κακοί εἰσιν οἱ δοκοῦντες μετέχειν λόγου. Ἀλλὰ καί τινα τῶν μοναστηρίων λελωβημένους λαμβάνουσι καὶ νοσοκομοῦσι· καίτοι ἑνὸς ὄντος τοῦ λελωβημένου, εἰς ἕνα διαβαίνει καὶ ἡ ὠφέλεια. Τοῦ δὲ διδασκάλου ἑνὸς μὲν ὄντος, εἰς πολλοὺς δὲ διαβαινούσης τῆς ὠφελείας διὰ τῆς διδασκαλίας, οὐ κήδονται· καὶ ταῦτα οὐδένα πόνον ἢ ὄχλον παρέχοντος τοῖς συμπαροῦσιν· οὐδεμίαν ζημίαν· ἀλλὰ καὶ οἷον ἀπολογοῦνται ὑβρίζοντες· οἴδαμεν, φασὶν, ὅτι πάντες οἱ αἱρεσιάρχαι γραμματικοὶ καὶ ῥήτορες ἦσαν. Ἀλλὰ καὶ τοῦτο σύνες, ὦ ἀλόγων σοφώτατε, ἐπεὶ καὶ τῷ μέρει τούτων προστίθῃ· τίνες ἦσαν οἱ πειθόμενοι τοῖς αἱρεσιάρχαις; καὶ τίνες οἱ ἐν λόγοις καταβάλλοντες; τίνων τὰ ὑπομνήματα, δι' ὧν ταῦτα γινώσκεις ἃ φῄς; τίνες δὲ οἱ μᾶλλον εὔπιστοι καὶ εὐαπάτητοι; οὐχὶ οἱ ἀμαθεῖς καὶ ἐπιπόλαιοι; Ταῦτα οὖν ἡμεῖς διεξήλθομεν, γράφει ὁ λόγιος Παχώμιος μοναχὸς, ἀναγκαζόμενοι ὑπὸ τῶν ἀλογίστων· μᾶλλον δὲ, ἐλεοῦντες αὐτοὺς τῆς κουφότητος (α).

Δυστυχῶς οὐ πάντες οἱ λεγόμενοι Χριστιανοὶ, Χριστιανοί εἰσιν· ὀλίγοι δὲ καὶ σπάνιοι οἱ εὐσεβεῖς καὶ Χριστοῦ μαθηταί. Χριστιανὸς ἐὰν τὰς συνθήκας παραβῇ καὶ τὰς ἐπαγγελίας καταπατήσῃ, καὶ τὸν λόγον τοῦ Εὐαγγελίου ἀθετήσῃ, καὶ τὰ τῶν ἐθνικῶν πράττῃ, οὐδὲν ὄφελος τὸ καλεῖσθαι αὐτὸν Χριστιανόν. Καὶ μὴ θαυμάσῃς, ἐὰν καὶ ποιμένες τινὲς λύκοι γίνωνται. Πρὸς γὰρ ἐπισκόπους καὶ πρεσβυτέρους διαλεγόμενος ὁ Ἀπόστολος ἔλεγεν, ὅτι ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα. Ὥστε μηδεὶς πλανάτω ὑμᾶς, ἔχων ἔξωθεν σχῆμα ἀγγελικὸν, ἔσωθεν δὲ διαβολικόν. «Τὸν λαμπρᾶς ἁπτόμενον ὑποθέσεως, καὶ τὸν νοῦν τῶν ἱερῶν Γραφῶν ἑρμηνεῦσαι πειρώμενον, χρὴ τὴν μὲν γλῶτταν ἔχειν σεμνήν τε καὶ τραχὺν, τὴν δὲ γνώμην εὐσεβῆ τε καὶ εὐαγῆ, ἀκολουθεῖν τε αὐταῖς, καὶ μὴ ἡγεῖσθαι, μηδὲ πρὸς τὸ οἰκεῖον βούλημα τὸν ἐκείνων νοῦν ἐκβιάζεσθαι. Τοῖς γὰρ παραποιεῖν καὶ παρερμηνεύειν τολμῶσι, κίνδυνος ἐπήρτηται μέγιστος εἰς αὐτὴν τὴν ψυχὴν βλέπων» (β). Ὅσοι ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες· οἵτινες ἔχουσι μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι. «Οὐχ ἡ δύναμις μόνον τοῦ κηρύγματος, ἀλλὰ καὶ ὁ βίος τῶν κηρυττόντων συμβαίνων τῷ κηρύγματι, τοὺς ἀνθρώπους ἐπηγάγετο» (γ). Πολλοὶ δόλιοι καὶ ἀμαθεῖς, ἀστήρικτοι καὶ νεωτερίζοντες φθείρουσιν ἢ παρερμηνεύουσι τὰς θείας Γραφάς. Ὅρα δὲ σὺ, ἀγαπητὲ, μὴ πιστεύσῃς αὐτοῖς, βλέπε, μὴ ἀπατηθῇς· μὴ ἐκκλίνῃς εἰς τὰ δεξιὰ, μηδὲ εἰς τὰ ἀριστερὰ, ἀλλ' ὁδῷ βασιλικῇ βάδιζε, ἥτις ἐστὶν ἡ Ἀποστολικὴ Ἐκκλησία καὶ οἱ θεῖοι ἡμῶν Πατέρες. Τούτους μίμησαι, τούτων μὴ χωρίζου, τούτων τὴν μνήμην ἔχε ἐν τῇ καρδίᾳ σου καὶ ἐν τῷ νῷ ἡμέρας καὶ νυκτὸς, καὶ οὐ πλανηθῇς. Ὅταν ἴδῃς πολλοὺς ἀσυνετοῦντας, μὴ ξενίζου· δεῖ ταῦτα γενέσθαι. Ὅταν ἴδῃς πολλοὺς ψευδοπροφήτας, ψευδοχρίστους, πλανολόγους, ὑπομνήσθητι τοῦ Δεσπότου λέγοντος, ὅτι ἐγερθήσονται ψευδοπροφῆται καὶ ψευδόχριστοι, ὥστε, εἰ δυνατὸν πλανῆσαι καὶ τοὺς ἐκλε-

(α) Τόμ. ϟΗ'. 1353 κ. ἑ. (β) Ἰσίδ. ΟΗ'. 965. (γ) Ἰσίδ. ΟΗ'. 981.

κτούς· ἀλλ' οὐαὶ τοῖς γράφουσι πονηρίαν. Ὅταν ἴδῃς τοὺς εὐλαβεῖς, καὶ πιστοὺς καὶ τοὺς ὄντως σοφοὺς προπηλακιζομένους καὶ ἐξουθενουμένους, τοὺς δὲ ἐναγεῖς καὶ ἀλαζόνας, τοὺς ψευδοδιδασκάλους καὶ σοφιστὰς προτιμωμένους καὶ προχειριζομένους, ὑπομνήσθητι τοῦ Ἀποστόλου λέγοντος, ὅτι πονηροὶ ἄνθρωποι καὶ γόητες προσκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι· καὶ ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνης, καὶ διδασκαλίαις δαιμόνων ἀκαθάρτων· καὶ, ὅτι ἔσται καιρὸς, ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται, ἀλλὰ κατὰ τὰς ἰδίας ἐπιθυμίας ἐπισωρεύσουσιν ἑαυτοῖς διδασκάλους, κνηθόμενοι τὴν ἀκοήν· καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται. Ἀλλ' οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται. «Ἐπειδὴ δὲ οἱ κακῶς δογματίσαντες θανάτου μείζονα τιμωρίαν τοῖς ἀπερισκέπτως πιστεύσασιν ἔτεκον, ἔστω τοῖς βεβλημένοις ἄριστον φάρμακον ἡ μετάγνωσις» (α).

Πάντες τοίνυν οἱ κληρικοὶ, πάντες οἱ λόγιοι, οἱ εἰδότες γράμματα, οἱ καυχώμενοι ἐπὶ τῷ τοῦ χριστιανοῦ ὀνόματι, ὀφείλομεν μελετᾷν καὶ ἐρευνᾷν τὰς θείας Γραφὰς, καὶ καρποῦσθαι τὴν ἐν αὐταῖς ὠφέλειαν καὶ γνῶσιν· μὴ ἀμελεῖν τοῦ ἀπαραιτήτου, καὶ ὄντως ἀναγκαίου τούτου καὶ σπουδαίου καθήκοντος· καὶ γὰρ καταδικάζομεν αὐτοὶ ἑαυτοὺς εἰς τὴν πνευματικὴν τῆς ψυχῆς στέρησιν καὶ ἀτροφίαν· αὐτοὶ ἡμεῖς ἀποδιώκομεν τὸν ὁδηγὸν τῆς ἀληθοῦς ὁδοῦ τῆς ζωῆς, καὶ διευθυνόμεθα εἰς τὴν σκοτεινὴν τῆς πλάνης ὁδόν· ὁ Χριστιανὸς ἄνευ τῆς ἁγίας Γραφῆς ἔοικε στρατιώτῃ δίχα ὅπλων, ἀσθενῆ ἄνευ ἰατρικῆς θεραπείας, ὁδοιπόρον ἄνευ ὁδηγοῦ. Συνελόντι δ' εἰπεῖν ὁ χριστιανὸς ὁ μὴ ἐρευνῶν καὶ ἐνδιατρίβων ἐν τῇ ἀναγνώσει τῶν θείων Γραφῶν καταδείκνυσιν ὅτι οὐδεμίαν ἔχει ζέσιν πρὸς τὴν ἑαυτοῦ ὄντως ἁγίαν θρησκείαν, οὐδεμίαν προθυμίαν πρὸς τὴν ἀληθῆ καὶ σωτηριώδη γνῶσιν.

Ἀλλ' ἡ σωτήριος τῆς εὐσεβείας καὶ χρηστομαθείας γνῶσις προσκτᾶται καὶ ἐμπεδοῦται διὰ τῶν διδασκάλων καὶ τῶν καλῶν παραδειγμάτων. Καὶ πρῶτοι μὲν διδάσκαλοι τῆς εὐσεβείας καὶ τῶν χρηστῶν ἠθῶν τοῖς τέκνοις, εἰσὶν οἱ γονεῖς, οἵτινες ὀφείλουσι λέγειν τοῖς τέκνοις, ὅτι ἔστι Θεός· οὐτί ἐστι πολυπραγμονεῖν. Πιστεύειν εἰς αὐτὸν ἐκ τῶν ὁρατῶν καὶ τῆς περὶ αὐτῶν προνοίας. Τὸ μὲν γὰρ ἐφικτὸν καὶ ἀλώσιμον· τὸ δὲ ἀνέφικτον καὶ ἀθήρατον. Πάνυ δέ εἰσιν ὠφέλιμα τοῖς τέκνοις καὶ μνήμης συνεχοῦς ἄξια, διηγήματα περὶ ἀρετῆς καὶ τῶν ἐν ταύτῃ διαλαμψάντων.

Δεύτερον οἱ σπουδαῖοι καὶ ἐνάρετοι ἱερεῖς. Βίος ἄνευ λόγου μᾶλλον ὠφελεῖν πέφυκεν, ἢ λόγος ἄνευ βίου. Ὁ μὲν γὰρ καὶ σιωπῶν ὠφελεῖ· ὁ δὲ καὶ βοῶν ἐνοχλεῖ. Εἰ δὲ καὶ λόγος καὶ βίος συνδράμοιεν, φιλοσοφίας ἁπάσης ἀποτελοῦσιν ἄγαλμα.

Τρίτον οἱ ποιμένες οἱ ὄντως ἀποστολικοὶ καὶ ἄξιοι τῶν θεοφόρων ἡμῶν Πατέρων διάδοχοι. «Λόγος δὲ διδασκαλικὸς πνευματικῶν ποιμένων, κατὰ τὸν Γρ. Νύσσης, κηρίων ἡδύτερος· πάντων δέ ἐστι καὶ ἔλεος, καὶ ῥάβδος, καὶ παράκλησις, καὶ πληγή.»

Τέταρτον οἱ ἐν τοῖς ἐκπαιδευτηρίοις διδάσκαλοι, ἐὰν τῷ ὄντι τιμῶσι τὸ καὶ πρᾶγμα καὶ ὄνομα λαοσωτήριον ὑψηλὸν ἐπάγγελμα, αὐτοὶ γενόμενοι τοῖς διδασκομένοις τύπος καὶ ὑπογραμμὸς, καλὸν μιμήσεως παράδειγμα, φεύγοντες ὡς ἀπὸ πυρὸς καὶ τὴν ἀσέβειαν καὶ τὴν δυσσέβειαν, τὸν μέσον διδάσκοντες ὅρον, τὴν εὐσέβειαν. Τὸν διδάσκειν ἐπιχειροῦντα πράττειν χρὴ, καὶ οὕτω φράζειν· τὸν δὲ μὴ πράττοντα, οὐδὲ φράζειν δίκαιον. Διδασκαλία δὲ ὑπὸ τῶν ἔργων κοσμουμένη πίστεως ἀξία εἰκότως φαίνεται. Ἄνευ δὲ τούτων, εἴρωνα καὶ τῶν ἰδίων λόγων ἀποφαίνει τὸν λέγοντα, κἂν σπουδάζῃ διδάσκων. Ὅτι

(α) Ἱσίδ. τομ. ΟΙΓ'. 965.

δεῖ διὰ λόγου καὶ πράξεως, κατὰ τὸν ἱερὸν Κύριλλον, ὁδεύειν ἡμᾶς· καὶ μήτε πράττειν ἀλόγως, μήτε λόγον ἔχειν πράξεως χωρίς· εἰ δέ τι ἐκ τῶν τοιούτων εἶναι βούλεται μεμονωμένον, πρᾶξις ἔστω λοιπὸν καὶ μὴ λόγος. Λόγος γὰρ ἀχαλίνωτος κατὰ κρημνῶν ὤθησε πολλάκις τοὺς κεκτημένους· πρᾶξις δὲ οὐδέποτε. Οὐ χρὴ τοίνυν λόγων τέχνῃ συσκιάζειν τὴν ἀλήθειαν· θεῖον μέν τοι χρῆμα ὁ λόγος· θειότερον δὲ ἡ ἀρετή· θειότατον δὲ ἡ εὐσέβεια. Χρὴ δὲ μὴ ἐπαίρειν τὸ φρόνημα τῶν μαθητῶν, ἀλλ' αὐξάνειν καὶ ἐνισχύειν τὴν φρόνησιν, ἐξ ἧς βλαστάνει τὰ κεδνὰ βουλεύματα. Φρόνημα δὲ γενναῖον καὶ μέτριον οὐ τὸ πρὸς τοὺς μείζους κολακευτικόν, ἀλλὰ τὸ πρὸς τοὺς ἐλάττους συγκαταβατικόν· οὐ τὸ δουλοπρεπές, ἀλλὰ τὸ ἥμερον· οὐ τὸ ὑποκρίσεως μεστόν, ἀλλὰ τὸ ἄδολον καὶ ἐλευθέριον, καὶ καπηλείαν μὴ ἐπιστάμενον. Φρόνημα δὲ ὑψηλὸν καὶ ἔντιμον τὸ πιστεύειν ὅτι ἔστι Θεὸς, ἀλλὰ μὴ πολυπραγμονεῖν καί τί ἐστιν, ὡς ἀνέφικτον καὶ δυσθήρατον· τὸ μὴ νομίζειν τοὺς θείους χρησμοὺς ἀγυρτικὰς λογοποιίας· τοὺς δὲ τῶν δεόντων παραινέτας ληρεῖν ὑπολαμβάνειν, καὶ κατὰ πάσης ὁμοῦ ἡλικίας τε καὶ ἀξίας ἐπικωμάζειν.

Πέμπτον δὲ καὶ τελευταῖον ἡ εὐσέβεια τῆς κυβερνήσεως· ἡ πρὸς τὴν ἀρετὴν τιμὴ καὶ ἀμοιβὴ, καὶ ἡ πρὸς τὴν δυσώνυμον καὶ δυσκλεῆ κακίαν ἀποστροφὴ, ἥτις παρώσατο τὴν ἀρετὴν, καὶ τυραννεῖ, καὶ πάντα ἄνω καὶ κάτω ποιεῖ, ὡς μηδὲ κακίαν εἶναι νομίζεσθαι. Ἡ δὲ εἰς Θεὸν εὐσέβεια κρηπίς ἐστι Βασιλείος καὶ πατρικῆς Κυβερνήσεως. Καὶ ὁ μὲν ἀνθρώπινος νόμος ἄριστόν ἐστιν ὀρθότητος παίδευμα, οὐ τοὺς ὀρθὰ βαδίζοντας ἐπανορθούμενος, ἀλλὰ τῶν ἀτακτούντων τὰς ὁρμὰς προαναστέλλων. Διὸ καὶ Παῦλος ἔφη, «Δικαίῳ νόμος οὐ κεῖται.» Ὁ δὲ εὐαγγελικὸς φιλοσοφίας ἐστὶ προτροπὴ, οὐ φόβῳ τοσοῦτον, ὅσον ἐπαγγελίαις ἀναπτεροῦν τῶν φιλαρέτων τὸν πόθον. Οὐκοῦν οἱ τούτῳ πειθόμενοι οὐ φόβῳ τοῦ νόμου, προτιμήσει δὲ τοῦ βελτίονος, τῆς ἀρετῆς ἀπρὶξ ἔχονται. Καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχίσουσιν, εἰρήνη ἐπ' αὐτοὺς καὶ ἔλεος. Λόγος δὲ μακρὸς οὐδὲν ὠφέλησε τὸν οὐ νοοῦντα μηδέν. «Πολλοὶ γὰρ τῶν ἀνθρώπων, τὰ μὲν κακὰ καὶ μὴ μαθόντες δρῶσι, τὰ δὲ ἀγαθὰ οὐδὲ διδασκόμενοι συνίεσαν.» (α)

Αἱ πατρικαὶ λοιπὸν Κυβερνήσεις, οἱ πνευματικοὶ Ποιμένες, οἱ Γονεῖς, οἱ Διδάσκαλοι, οἱ ὄντως φιλοπάτριδες καὶ ποδηγέται τῆς εὐπλάστου καὶ φιλοτίμου νεολαίας, ἐὰν βούλωνται καὶ θέλωσιν ἔχειν πολίτας καὶ ὑπήκοον φιλόνομον, ποίμνιον θεοσεβὲς καὶ εὐσεβὲς τέκνα ἀντάξια τῶν τροφείων καὶ τῶν ἐλπίδων, μαθητὰς φιλομαθεῖς, χρηστοήθεις, καὶ μέλλοντα τῆς κοινωνίας σεμνώματα, ἀπόλυτός ἐστιν ἀνάγκη, καὶ ἐν τῶν πρώτων καθηκόντων, συνιστᾶν τὴν τῶν ἱερῶν βίβλων ἀνάγνωσιν καὶ μελέτην, ἧς ἡ ἀμέλεια κατὰ δυστυχίαν καὶ τῆς Ἐκκλησίας καὶ τοῦ Ἔθνους, ὑπερεπλεόνασεν ἐν τοῖς καθ' ἡμᾶς χρόνοις, ἕνεκα τῆς παραγωρίσεως τοῦ ἀληθοῦς συμφέροντος, τῆς ὡς μὴ ὤφελεν ἐγκαταλείψεως τῶν σεμνῶν πατρῴων ἠθῶν καὶ ἐθίμων, καὶ τῆς παραδοχῆς τῶν ἀλλοτρίων καὶ ἐπεισάκτων. Εἴθε δὲ μὴ εἰς τὸν περιούσιον λαὸν, εἰς ἔνδοξον καὶ ἐπίζηλον ἔθνος χρησιμεύσωσιν ὡς ἐπιτύμβιον τῆς καθ' ἡμᾶς ἐποχῆς οἱ κατωτέρω Λέοντος τοῦ σοφοῦ Ἰαμβικοὶ στίχοι·

Ἔρρει τὰ σεμνὰ τῷ χρόνῳ τῷ παμφάγῳ,
Διήφθορε τὰ χρηστὰ καὶ τὰ τίμια,
Ὄλωλεν ἡ παίδευσις (τοῦ Εὐαγγελίου), ἔσβη καὶ λόγος,
Φροῦδος δὲ καὶ νοῦς, οἴχετε θεωρία,
Λέλοιπεν εὐσέβεια καὶ τελεστικὴ·
Θέμις δ' ἀπέστη, καὶ δίκη, καὶ πᾶν καλόν.
Παῤῥησιάζεται δὲ νῦν πανουργία,
Καὶ ψεῦδος ἄρχει, καὶ τυραννὶς καὶ βία·
Ἕρπει δὲ πρὸς πᾶν θεῖον ἔργον ὁ φθόνος,
Τῆς δυσσεβείας ἠνέωκται τὸ στόμα,
Ῥοιβδεῖ δὲ χανδὸν ἡ Χάρυβδις τῆς πλάνης,
Ἐμεῖ δὲ πᾶς τις δόγματα βλασφημίας. (β)

(α) Ἰσιδ. τόλ. ΟΗ'. 977. (β) Τόμ. ΡΖ. 664.

ΠΙΝΑΞ

ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

Προλεγόμενα γ'.

Α'. Ὅτι ἀπαραίτητον παντὶ Χριστιανῷ ἡ ἀνάγνωσις τῶν θείων Γραφῶν. γ'.

Β'. Διὰ τί ἀσαφεῖς αἱ θεῖαι Γραφαὶ καὶ οὐ τοῖς πᾶσι καταληπταί. ς'.

Γ'. Περὶ τῆς ἀληθείας τῆς Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας καὶ τῶν ἐκκλινάντων ἀπ' αὐτῆς αἱρετικῶν, καὶ περὶ τῶν ἀπίστων τὰς αἱρέσεις προφασιζομένων. η'.

Δ'. Περὶ τῶν ἱερῶν παραδόσεων. ια'.

Ε'. Ἀξία τῶν θείων ἡμῶν Πατέρων καὶ τῶν συγγραμμάτων αὐτῶν· ιε'.

Σ'. Ὀλίγα τινὰ περὶ Πατρολογίας. κα'.

Ζ'. Πόθεν ὁρμηθέντες ἀνελάβομεν τὴν σύνταξιν τῆς παρούσης Κλειδός. κδ'.

Τοῖς ἐντευξομένοις ταπεινὴ ὑπόμνησις. κζ'.

ΑΙΩΝ Α'.

Κλήμης Πάππας Ῥώμης. 1.

Βαρνάβας ἀπόστολος. 8.

Ματθίας ἀπόστολος. 8.

Βαρθολομαῖος ἀπόστολος. 8.

Ἀνάκλητος Πάπας. 9.

Ἑρμᾶς ἢ Ποιμήν. 9.

Διαθῆκαι τῶν ΙΒ'. Πατριαρχῶν. 9.

Ἀνώνυμοι. 9.

Πρεσβύτεροι καὶ Διάκονοι Ἀχαΐας. 9.

Διονύσιος Ἀρεοπαγίτης. 10.

ΑΙΩΝ Β'.

Ἰγνάτιος ὁ Θεοφόρος. 13.

Πολύκαρπος Σμύρνης. 14.

Εὐάρεστος Πάπας. 14.

Ἀλέξανδρος Α'. Πάπας. 14.

Σήξτος Α'. Πάπας. 14.

Τελεσφόρος Πάπας. 14.

Ὑγῖνος Πάπας. 14.

Πῖος Α'. Πάπας. 14.

Ἀνίκητος Α'. Πάπας. 14.

Σωτὴρ Πάπας. 14.

Ἐλευθέριος Πάπας. 14.

Μελίτων Σάρδεων. 14.

Παπίας Ἱεραπόλεως. 14.

Κοδράτος Ἀθηνῶν. 14.

Ἀριστείδης φιλόσοφος. 15.

Ἀγρίππας Κάστωρ. 15.

Ἀρίστων Πελλαῖος. 15.

Κλαύδιος Ἀπολλινάριος. 15.

Ἡγήσιππος. 15.

Πάνταινος. 15.

Ῥόδων. 15.

Μάξιμος Ἱεροσολύμων. 15.

Πολυκράτης Ἐφέσου. 15.

Θεόφιλος Καισαρείας Παλαιστίνης. 15.

Σεραπίων Ἀντιοχείας. 15.

Ἀπολλώνιος Ἐφέσου. 15.

Ἀνώνυμοι. 15.

Βιεννενσίων καὶ Λογδούνων Ἐκκλησίαι. 15.

Μαρτύρια ἁγίων Ἐπιποδίου κλπ. 15.

Βίκτωρ Πάπας. 15.

Ἀρχαῖος ἐπίσκοπος Ἀφρικῆς. 15.

Ἰουστῖνος φιλόσοφος καὶ μάρτυς. 16.

Τατιανὸς Ἀσσύριος. 16.
Ἀθηναγόρας φιλόσοφος. 16.
Θεόφιλος Ἀντιοχείας. 16.
Ἑρμίας φιλόσοφος. 16.
Εἰρηναῖος Λουγδούνων. 17.

ΑΙΩΝ Γ'.

Κλήμης Ἀλεξανδρεύς. 18.
Ζεφυρῖνος Πάπας. 19.
Γαῖος πρεσβύτερος Ῥωμαῖος. 19.
Ἰούλιος Ἀφρικανός. 20.
Κάλλιστος Α'. Πάπας. 20.
Οὐρβανὸς Πάπας. 20.
Ἀστέριος Οὐρβανὸς Πάπας. 20.
Ποντιανὸς Πάπας. 20.
Ἀνθηρὸς Πάπας. 20.
Φαβιανὸς Πάπας. 20.
Ἀλέξανδρος Ἱεροσολύμων. 20.
Ἀνατόλιος Λαοδικείας. 20.
Θεόγνωστος Ἀλεξανδρείας. 20.
Πιέριος. 20.
Μαλχίων πρεσβύτερος Ἀντιοχείας. 20.
Ἱππόλυτος ἐπίσκοπος Πόρτου. 21.
Γρηγόριος Νεοκαισαρείας ὁ θαυματουργός. 21.
Διονύσιος Ἀλεξανδρείας. 22.
Μακάριος Μάγνης. 22.
Ἀρχέλλαος Μεσοποταμίας. 22.
Πάμφιλος μάρτυς. 22.
Φιλέας ἐπίσκοπος Θμουϊτῶν. 22.
Θεωνᾶς Ἀλεξανδρείας. 23.
Ὠριγένης. 23.

ΑΙΩΝ Δ'.

Μεθόδιος ἐπίσκοπος καὶ μάρτυς. 28.
Ἀλέξανδρος Λυκοπόλεως. 28.
Πέτρος Α'. Ἀλεξανδρείας. 28.
Ἀλέξανδρος Ἀλεξανδρείας. 28.
Εὐστάθιος Ἀντιοχείας. 29.
Τίτος Βόστρων. 29.
Μάρκελλος Ἀγκύρας. 29.
Θεόδωρος Ἡρακλείας. 29.
Εὐσέβιος Παμφίλου. 29.
Ἀθανάσιος Ἀλεξανδρείας. 63.
Βασίλειος Καισαρείας ὁ μέγας. 70.
Κύριλλος Ἱεροσολύμων. 97.
Πέτρος Ἀλεξανδρείας ὁ Β'. 99.
Τιμόθεος Ἀλεξανδρείας. 100.
Ἀπολλινάριος Λαοδικείας. 100.
Ἰσαὰκ ἐξ Ἰουδαίων Χριστιανός. 100.
Διόδωρος Ταρσοῦ. 100.
Μακάριος Αἰγύπτιος. 100.
Μακάριος Ἀλεξανδρεύς. 100.
Παλλάδιος Ἑλενοπόλεως ἱστορία Λαυσαϊκή. 103.
Γρηγόριος Ναζιανζηνός. 105.
Καισάριος ἀδελφὸς Γρηγορίου. 130.
Ἀμφιλόχιος Ἰκονίου. 130.
Δίδυμος Ἀλεξαεδρεύς. 131.
Νεκτάριος Κωνσταντινουπόλεως. 136.
Φίλων Καρπασίου. 136.
Ἀστέριος Ἀμασείας. 137.
Νεμέσιος Ἐμέσης. 137.
Ἱερώνυμος Ἕλλην θεολόγος. 138.
Πατέρες Αἰγύπτιοι. 138.
Ὠρσίσιος. 138.
Σεραπίων. 138.
Παχώμιος. 138.
Ἀντώνιος ὁ μέγας. 138.
Θεόδωρος ἀββᾶς. 139.
Ἠσαΐας ἀββᾶς. 139.
Εὐάγριος Ποντικός. 139.

ΑΙΩΝ Ε'.

Ἐπιφάνιος Κύπρου. 140.
Νόννος Πανοπολίτης. 150.
Γρηγόριος Νύσσης. 150.
Ἰωάννης ὁ Χρυσόστομος. 164.

Μελέτιος μοναχός. 218.
Σεβήριανὸς Γαβάλων. 220.
Θεόφιλος Ἀλεξανδρείας. 220.
Παλλάδιος Ἑλενοπόλεως. 221.
Φιλοστόργιος ἱστορικός. 222.
Ἀττικὸς Κωνσταντινουπόλεως. 223.
Πρόκλος Κωνσταντινουπόλεως. 224.
Φλαβιανὸς Κωνσταντινουπόλεως. 224.
Μάρκος Ἐρημίτης. 225.
Μάρκος Διάδοχος. 225.
Μάρκος Διάκονος. 225.
Θεόδωρος Μοψουεστίας. 225.
Συνέσιος Πτολεμαΐδος. 226.
Ἀρσένιος Ἐρημίτης. 229.
Σωκράτης Σχολαστικός. 230.
Ἑρμείας Σωζόμενος. 238.
Κύριλλος Ἀλεξανδρείας. 250.
Θεόδωρος Ἀγκύρας. 274.
Παῦλος Ἐμέσης. 274.
Ἀκάκιος Βερροίας. 274.
Ἰωάννης Ἀντιοχείας. 274.
Μέμνων Ἐφέσου. 275.
Ἀκάκιος Μελιτινῆς. 275.
Βαβύλας Ἐδέσσης. 275.
Φίρμος Καισαρείας Καππαδοκείας. 275.
Ἀμφιλόχιος Σίδης. 275.
Ἰσίδωρος ὁ Πηλουσιώτης. 276.
Ζώσιμος Ἀββᾶς. 314.
Νεῖλος Ἀββᾶς. 314.
Ὑπερέχιος Ἀββᾶς. 317.
Θεοδώρητος Κύρρου. 317.
Βασίλειος Σελευκείας. 345.
Εὐθάλιος διάκονος. 346.
Ἰωάννης Καρπάθιος. 347.
Εὐδοκία Αὐγούστα. 347.
Αἰνείας Γαζαῖος. 347.
Ζαχαρίας Μιτυλήνης. 347.
Γελάσιος Κυζικηνός. 348.
Θεότιμος Τόμιος. 349.
Ἀμμώνιος πρεσβύτερος Ἀλεξανδρείας. 349.
Ἀνδρέας Σαμοσάτων. 349.
Γεννάδιος Κωνσταντινουπόλεως. 349.
Κυντιανὸς Ἀρκουλιανῶν. 350.
Κάνδιδος Ἴσαυρος. 350.
Ἀντίπατρος Βόστρων. 350.
Δαλμάτιος Μοναχός. 350.
Τιμόθεος Βηρυτοῦ. 350.
Εὐστάθιος Βηρυτοῦ. 351.
Βυζαντινῆς ἱστορίας προσθῆκαι τοῦ Ε'. αἰῶνος. 351.
Ζώσιμος ἱστορικός. 351.
Φλάκκος Μεροβώδης. 352.
Ἰωάννης Λυδός. 352.

ΑΙΩΝ ΣΤ'.

Τιμόθεος πρεσβ. Κωνσταντινουπόλεως. 353.
Ἰωάννης Μαξέντιος. 353.
Θεόδωρος Ἀναγνώστης. 353.
Προκόπιος πρεσβ. Τύρου. 354.
Θεόδωρος Σκυθοπόλεως. 354.
Τιμόθεος πρεσβ. Ἱεροσολύμων. 354.
Τιμόθεος πρεσβ. Ἀντιοχείας. 354.
Τιμόθεος Γ'. Ἀλεξανδρείας. 354.
Θεοδόσιος Ἀλεξανδρείας. 354.
Εὐσέβιος Ἀλεξανδρείας. 354.
Εὐσέβιος Ἐμέσης. 355.
Γρηγέντιος Τάφρων. 355.
Ἐπιφάνιος Κωνσταντινουπόλεως. 355.
Ἔκθεσις πρωτοκλησιῶν. 356.
Ἰσαὰκ ὁ Σύρος. 356.
Βαρσανούφιος Ἀββᾶς. 356.
Εὐστάθιος μοναχός. 356.
Ἰουστινιανὸς αὐτοκράτωρ. 365.
Ἀγαπητὸς διάκονος. 656.
Λεόντιος Βυζάντιος. 357.
Ἐφραίμ Ἀντιοχείας. 359.
Παῦλος Σιλεντιάριος. 360.
Εὐτύχιος Κωνσταντινουπόλεως. 360.
Εὐάγριος Σχολαστικός. 366.
Εὐλόγιος Ἀλεξανδρείας. 360.
Συμεὼν ὁ νέος Στυλίτης. 366.
Προκόπιος Γαζαῖος. 366.
Ἀλέξανδρος μοναχός. 368.
Κοσμᾶς Ἰνδικοπλεύστης. 368.
Κωνσταντῖνος διάκονος Κωνστ/πόλεως. 369.
Φωτεινοῦ Μανιχαίου καὶ Παύλου Χρισιανοῦ διάλογοι. 369.
Ἰωάννης τῆς Κλίμακος. 369.
Ἀγαθίας Μυρινάϊος. 371.
Δωρόθεος ἀρχιμανδρίτης. 371.
Γρηγόριος Ἀντιοχείας. 372.

Ἰωάννης Νηστευτὴς Κωνστ/πόλεως. 373.
Ἀναστάσιος Σιναΐτης Ἀντιοχείας. 373.
Ἀναστάσιος Ἀντιοχείας ἕτερος. 381.
Ἀναστασίου Θεουπόλεως καὶ Κυρίλλου Ἀλεξανδρείας ἔκθεσις πίστεως. 381.
Προκόπιος Καισαρεὺς ἱστορικός. 382.
Κόριππος Ἀφρικανὸς ἱστορικός. 383.

ΑΙΩΝ Ζ'.

Ζαχαρίας Ἱεροσολύμων. 384.
Μόδεστος Ἱεροσολύμων. 384.
Ἰόβιος μοναχός. 384.
Ἐρέχθιος Ἀντιοχείας τῆς Πισιδίας. 385.
Πέτρος Λαοδικείας. 385.
Ἰωάννης Μόσχος ὁ καὶ Εὐκρατᾶς. 385.
Σωφρόνιος Ἱεροσολύμων. 385.
Ἀναστάσιος Ἀββᾶς. 387.
Ἀναστάσιος Δ'. Ἀντιοχείας. 387.
Ἀναστάσιος πρεσβ. Ἀντιοχείας. 387.
Ἀντίοχος μοναχός. 387.
Μάξιμος ὁ ὁμολογητής. 389.
Θαλάσσιος Ἀββᾶς. 396.
Θεόδωρος πρεσβύτερος Ῥαϊθοῦ. 396.
Χρονικὸν Πασχάλιον. 397.
Γεώργιος Πισίδας. 398.
Ὀλυμπιόδωρος διάκονος Ἀλεξανδρείας. 399.
Ἡσύχιος πρεσβύτερος Ἱεροσολύμων. 399.
Λεόντιος Νεαπόλεως τῆς Κύπρου. 400.
Λεόντιος Δαμασκηνός. 400.
Ἰωάννης Μαλάλας. 400.
Ἀνδρέας Κρήτης. 401.
Γρηγόριος Ἀκραγαντίνων. 402.
Θεοφύλακτος Σιμοκάττης. 402.

ΑΙΩΝ Η'.

Ἰωάννης ὁ Δαμασκηνός. 403.
Ἰωάννης Κωνσταντινουπόλεως. 421.
Ἰωάννης Νικαίας. 421.
Ἰωάννης πρεσβύτερος Εὐβοίας. 421.
Ἠλίας Κρήτης. 422.
Θεόδωρος Ἀβουκάρας. 422.
Γερμανὸς Α'. Κωνσταντινουπόλεως. 422.
Κοσμᾶς Ἱεροσολυμίτης. 423.
Ἀνώνυμος. 423.
Πανταλέων διάκονος. 424.
Ἀδριανὸς μοναχός. 424.
Ἐπιφάνιος διάκονος Κατάνης. 424.
Μαχώμιος μοναχός. 424.
Φιλόθεος μοναχός. 425.
Ταράσιος Πατριάρχης Κωνστ/πόλεως. 425.
Θεόδωρος Στουδίτης. 425.
Νικηφόρος πατριάρχης Κωνστ/πόλεως. 429.

ΑΙΩΝ Θ'.

Στέφανος διάκονος Κωνσταντινουπόλεως. 431.
Προκόπιος διάκονος καὶ χαρτοφύλαξ. 431.
Γρηγόριος Δεκαπολίτης. 431.
Χριστόφορος πατρ. Ἀλεξανδρείας. 431.
Μεθόδιος πατρ. Κωνσταντινουπόλεως. 431.
Γεώργιος Νικομηδείας. 432.
Φώτιος πατρ. Κωνσταντινουπόλεως. 433.
Πέτρος Σικελιώτης. 453.
Βαρθολομαῖος Ἐδεσσηνὸς μοναχός. 454.
Νικήτας Δαυὶδ Παφλαγών. 454.
Νικήτας Βυζάντιος. 455.
Θεόγνωστος μοναχός. 455.
Ἀνώνυμος. 455.
Ἰωσὴφ ὁ ὑμνογράφος. 456.

ΑΙΩΝ Γ'.

Ἰώσηπος χριστιανός. 457.
Νικηφόρος φιλόσοφος. 460.
Ἀνδρέας Καισαρείας. 460.
Ἀρέθας Καισαρείας. 461.
Ἰωάννης Γεωμέτρης. 461.
Κοσμᾶς Βεστήτωρ. 461.
Λέων Πατρίκιος. 461.
Ἀθανάσιος Κορίνθου. 462.
Ἐγχειρίδια ἑλληνικά. 462.
Λέων αὐτοκράτωρ καὶ φιλόσοφος. 463.
Θεοφάνης ὁ ὁμολογητής. 464.
Ἀνώνυμος. 465.
Λέων Γραμματικός. 465.
Ἀναστάσιος βιβλιοθηκάριος. 465.
Βυζαντινοὶ ἱστορικοὶ μετὰ Θεοφάνην. 465.
Ἀνώνυμος. 465.
Ἰωάννης Ἱεροσολυμίτης. 466.
Ἰωάννης Καμηνιάτης. 466.
Δημήτριος Κυδώνης. 466.
Συμεὼν Μάγιστρος. 466.
Γεώργιος Σύγκελλος. 467.
Ἰωσὴφ Γενέσιος. 467.
Γεώργιος Ἁμαρτωλός. 467.
Νικόλαος πατρ. Κωνσταντινουπόλεως. 468.
Ἀνώνυμος. 468.
Βασίλειος Νέων Πατρῶν. 468.
Βασίλειος Καισαρείας ὁ νέος. 468.
Γρηγόριος πρεσβύτερος Καισαρείας. 468.
Ἀνώνυμος. 469.
Μωσῆς Βαρ-Σέφας. 469.
Λέων Γραμματικός. 469.
Θεόδωρος Δαφνοπάτης. 469.
Νικηφόρος πρεσβύτερος. 469.
Εὐτύχιος Ἀλεξανδρείας. 469.
Γεώργιος μοναχός. 469.
Κωνσταντῖνος Πορφυρογέννητος. 470.
Ἱεροκλῆς Γραμματικός. 475.
Δέξιππος Ἀθηναῖος. 480.
Εὐνάπιος Σαρδιανός. 480.
Πέτρος Πατρίκιος. 480.
Πρίσκος ῥήτωρ. 480.
Μένανδρος Προτίκτωρ. 480.
Θεοφύλακτος Σιμοκάττης. 480.
Νίκων ἅγιος. 480.
Θεοδόσιος μοναχός. 480.
Συμεὼν μεταφραστής. 481.
Βασίλειος Πορφυρογέννητος. 486.
Λέων διάκονος. 486.
Νικηφόρος Φωκᾶς. 487.
Ἱππόλυτος Θηβαῖος. 487.
Ἰωάννης μοναχὸς Γεωργίδης. 487.
Ἰγνάτιος διάκονος. 487.
Νεῖλος ἔπαρχος. 487.
Χριστόφορος Ἀσεκρίτης. 487.
Μιχαὴλ Ἁμαρτωλός. 487.
Ἀνώνυμος. 487.
Σουΐδας. 487.
Οἰκουμένιος Τρίκκης, 488.
Κανονικὸν Ἐκκλησιασοικὸν δίκαιον. 489.

ΑΙΩΝ ΙΑ'.

Ἀνώνυμος. 495.
Θεόδωρος Ἰκονίου. 495.
Λέων πρεσβύτερος. 495.
Λέων Γραμματικός. 495.
Ἰωάννης πρεσβύτερος. 495.
Ἐπιφάνιος μοναχός. 495.
Ἀλέξιος πατριάρχης. 496.
Δημήτριος Σύγκελλος. 496.
Συμεὼν ὁ νέος θεολόγος. 496.
Νικήτας Χαρτοφύλαξ. 496.
Μιχαὴλ Κηρουλάριος πατρ. Κωνς/πόλεως. 496.
Σαμωνᾶς Γάζης. 497.
Λέων Ἀχριδῶν. 497.
Νικήτας Στηθάτος. 497.
Ἰωάννης Εὐχαΐτων. 497.
Ἰωάννης Ξιφιλῖνος πατρ. Κωνστ. 498.
Ἰωάννης διάκονος Κωνσταντινουπόλεως. 498.
Γεώργιος Κεδρηνός. 499.
Ἰωάννης Σκυλίτζης. 499.
Μιχαὴλ Ψελλός. 499.
Διαθήκη Σολομῶντος. 500.
Θεοφύλακτος Βουλγαρίας. 501.

Νικηφόρος Βριέννυος. 504.
Κωνσταντῖνος Μανασσῆς. 504.
Νικόλαος Γ'. πατρ. Κωνς/πόλεως. 505.
Λουκᾶς Ἀββᾶς Κρυπτοφέρρης. 505.
Νίκων μοναχός. 505.
Ἀναστάσιος Καισαρείας. 505.
Νικήτας Σερρῶν. 505.
Ἰάκωβος μοναχός. 505.
Μιχαὴλ Ἀτταλειάτης. 506.

ΑΙΩΝ ΙΒ'.

Φίλιππος Σολιτάριος. 507.
Ἰὼβ μοναχός. 507.
Πέτρος Χρυσολάνος. 507.
Ἀλέξιος Κομνηνὸς ὁ Α'. 507.
Εἰρήνη Αὐγούστα. 507.
Ἠλίας Ἔκδικος. 507.
Νικήτας Σερρώνιος. 508.
Νικηφόρος Βοτανειάτης. 508.
Νικήτας Σίδης. 508.
Εὐθύμιος Ζιγαβηνός. 508.
Ἄννα Κομνηνή. 510.
Θεοφάνης Κεραμεύς. 510.
Νεῖλος Δοξαπατρῆς. 512.
Ἰωάννης Ἀντιοχείας. 512.
Ἰωάννης Κομνηνὸς ὁ Β'. 512.
Ἰσαὰκ ὁ Καθολικός. 512.
Ἀρσένιος Φιλοθεΐτης. 513.
Θεωριανὸς Ὀρθόδοξος. 513.
Ἰωάννης Κίνναμος. 513.
Μανουὴλ Κομνηνός. 513.
Ἀλέξιος Κομνηνὸς ὁ Β'. 514.
Ἀνδρόνικος Κομνηνὸς ὁ Α'. 514.
Ἰωάννης Φωκᾶς. 514.
Ἐπιφάνιος μοναχός. 514.
Πέρδικος Πρωτονοτάριος. 514.
Ἀνώνυμος περὶ τῶν Ἱεροσολυμιτικῶν τόπων. 514
Θεόδωρος Πρόδρομος. 514.
Ἰωάννης Ζωναρᾶς. 515.
Γεώργιος Ξιφιλῖνος πατρ. Κωνστ/πόλεως. 516.
Ἰσαάκιος Ἄγγελος ὁ Β'. 516.
Νεόφυτος μοναχὸς καὶ Ἔγκλειστος. 516.
Ἰωάννης Χειλᾶς. 516.
Νικόλαος ἐπίσκοπος Μεθώνης. 516.
Εὐστάθιος Θεσσαλονίκης. 517.
Ἀντώνιος μοναχὸς ἡ Μέλισσα. 518.
Προσθῆκαι εἰς Εὐστάθιον Θεσσαλονίκης. 521.

ΑΙΩΝ ΙΓ'.

Θεόδωρος Βαλσαμών. 522.
Ἰσίδωρος Θεσσαλονίκης. 525.
Νικήτας Μαρωνείας Θεσσαλονίκης. 525.
Ἰωάννης Κίτρου. 525.
Μάρκος Ἀλεξανδρείας. 525.
Ἰωὴλ Χρονογράφος. 525.
Νικήτας Χωνιάτης. 525.
Μιχαὴλ Ἀκομινᾶτος Ἀθηνῶν. 527.
Θεόδωρος Ἀλανίας ἐπίσκοπος. 527.
Μανουὴλ μέγας ῥήτωρ. 527.
Παντελέων διάκονος Κωνσταντινουπόλεως. 527.
Μανουὴλ Χαριτόπουλος. 527.
Γερμανὸς Β'. Π. Κωνστ. 527.
Μανουὴλ Β'. Π. Κωνστ. 528.
Μιχαὴλ Χοῦμνος Θεσσαλονίκης. 528.
Θεόδωρος Δούκας Λάσκαρις. 528.
Μεθόδιος μοναχός. 528.
Νικηφόρος Β'. Π. Κωνστ. 528.
Κωνσταντῖνος Ἀκροπολίτης. 528.
Ἀρσένιος Αὐτωριανὸς Π. Κωνστ. 528.
Γεώργιος Ἀκροπολίτης. 528.
Θεόδωρος Β'. Λάσκαρις. 529.
Νικηφόρος Χοῦμνος. 529.
Ἀλέξανδρος Δ'. Πάπας. 529.
Σίξτος Ϛ'. Πάπας. 529.
Ἰωάννης Βέκκος Π. Κωνστ. 530.
Κωνσταντῖνος Μελιτηνιώτης. 530.
Γεώργιος Μετοχίτης. 530.
Γεώργιος Κύπριος. 531.
Γρηγόριος Κύπριος Π. Κωνστ. 531.
Ἀθανάσιος Π. Κωνστ. 531.
Νικηφόρος Βλεμμίδης. 532.

ΑΙΩΝ ΙΔ'.

Ἐφραίμιος Χρονογράφος. 533.
Γεώργιος Παχυμέρης. 533.
Θεόδωρος Μετοχίτης. 534.
Ματθαῖος Βλάσταρις. 534.
Θεόδουλος μοναχός. 535.
Θωμᾶς Μάγιστρος. 535.
Νικηφόρος Κάλλιστος Ξανθόπουλος. 535.
Κάλλιστος Ξανθόπουλος. 566.
Ἰγνάτιος Ξανθόπουλος. 566.
Κάλλιστος πατριάρχης. 666.
Κάλλιστος Τηλικούδης. 566.
Κάλλιστος Καταφυγιώτης. 566.
Νικηφόρος μοναχός. 567.
Μάξιμος Πλανούδης. 567.
Νικηφόρος Γρηγορᾶς. 567.
Νεῖλος Καβάσιλας. 568.
Θεόδωρος Μελιτηνιώτης. 568.
Γεώργιος Λαπίθας. 568.
Κατάλογος βιβλιοθήκης Πάτμου. 569.
Κωνσταντῖνος Ἀρμενόπουλος. 569.
Μακάριος Χρυσοκέφαλος. 569.
Ἰωάννης Καλέκας Π. Κωνσταντινουπόλεως. 569.
Θεοφάνης Νικαίας. 569.
Νικόλαος Καβάσιλας. 570.
Γρηγόριος Παλαμᾶς. 570.
Γρηγόριος Ἀκίνδυνος. 573.
Βαρλαὰμ Καλαβρός. 573.
Μανουὴλ Καλέκας. 573.
Ἰωάννης Κυπαρισιώτης. 573.
Ματθαῖος Ἀσάνης Καντακουζηνός. 574.
Ἰωάννης Γλυκύς Π. Κωνσταντινουπόλεως. 574.
Ἰωάννης Καντακουζηνός. 574.
Φιλόθεος Π. Κωνσταντινουπόλεως. 575.
Δημήτριος Κυδώνης. 575.
Μάξιμος Χρυσοβέργης. 576.
Φιλόθεος Σηλυβρίας. 576.

ΑΙΩΝ ΙΕ'.

Συμεὼν Θεσσαλονίκης. 577.
Μανουὴλ Χρυσολωρᾶς. 578.
Ἰωάννης Κανανός. 578.
Μανουὴλ Β'. Παλαιολόγος. 578.
Ἰωάννης Ἀναγνώστης. 579.
Γεώργιος Φραντζῆς. 579.
Γεώργιος Κωδινὸς Κουροπαλάτης. 580.
Ἰωάννης Δούκας. 580.
Μιχαὴλ Γλυκᾶς. 581.
Ἰωάννης διάκονος Ἀνδριανουπόλεως. 582.
Ἠσαΐας Κύπριος. 582.
Ἱλαρίων μοναχός. 583.
Ἰωάννης Ἀργυρόπουλος. 583.
Θεόδωρος Ἀγαλλιανός. 583.
Ἰωσὴφ Β'. Πατριάρχης Κωνστ. 583.
Ἰὼβ Ἁμαρτωλός. 583.
Βαρθολομαῖος Ἰαννός. 583.
Νικόλαος Βάρβαρος. 583.
Ἀνώνυμος περὶ τοῦ βίου Μωάμεθ. 583.
Λαόνικος Χαλκοκονδύλης. 584.
Λεολάρδος Χῖος. 584.
Ἰσίδωρος Καρδινάλιος. 584.
Ἰωάννης ὁ Πλουσιοδηνός. 584.
Ἰωσὴφ Μεθώνης. 584.
Γρηγόριος Μελισσηνὸς ἢ τῆς Μαμμῆς. 585.
Γεώργιος Σχολάριος ἢ Γεννάδιος. 585.
Γεώργιος Γεμιστὸς ἢ Πλήθων. 586.
Ματθαῖος Καμαριώτης. 587.
Μάρκος Εὐγενικὸς Ἐφέσου. 587.
Νικόλαος Ε'. Πάπας. 588.
Βησσαρίων Νικαίας. 588.
Γεώργιος Τραπεζούντιος. 589.
Κωνσταντῖνος Λάσκαρις. 589.
Θεόδωρος Γαζῆς. 590.
Ἀνδρόνικος Κάλλιστος. 589.
Αὐτοκρατόρων Κωνστ. Νεαραὶ διατάξεις. 589.
Τουρκογραικία. 590.

Πίναξ ἀλφαβητικὸς ὀνομάτων καὶ πραγμάτων ἐν τῇ Κλειδὶ περιεχομένων. 593.
Πίναξ Βυζαντινῶν ἱστορικῶν ἔν τε Βόννῃ καὶ ἐν Παρισίοις ὑπὸ Μιγνίου ἐκδοθέντων. 604.
Παρορά̀ματα. 606.
Συνδρομηταί. 609.

ΚΛΕΙΣ
ΠΑΤΡΟΛΟΓΙΑΣ ΚΑΙ ΒΥΖΑΝΤΙΝΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΑΙΩΝ Α'.

ΑΠΟΣΤΟΛΙΚΟΙ ΠΑΤΕΡΕΣ

ΚΛΗΜΗΣ ΠΑΠΑΣ ΡΩΜΗΣ (;† 100 Μ.Χ.)

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΛΗΜΕΝΤΟΣ ΠΑΠΑ ΡΩΜΗΣ ΤΑ ΕΥΡΙΣΚΟΜΕΝΑ ΠΑΝΤΑ (α)

Ἐν οἷς καὶ σχετικαὶ πραγματεῖαι, ἀναλύσεις, σχόλια κτλ. ἑτέρων συγγραφέων (β).

ΣΕΙΡΑ ΤΩΝ 161 ΤΟΜΩΝ ΤΗΣ ΟΛΗΣ ΠΑΤΡΟΛΟΓΙΑΣ

ΤΟΜΟΣ 1

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΠΡΟΛΕΓΟΜΕΝΑ

* Πραγματεῖαι περὶ τῶν ἐκκλησιαστικῶν συγγραφέων τοῦ Α'. αἰῶνος· λατ. Σελ. 9-30. (γ)

* Προοίμια διαφόρων εἰς τὰς ἐπιστολὰς Κλήμεντος· λατινιστί. 31-198.

ΣΥΓΓΡΑΜΜΑΤΑ ΓΝΗΣΙΑ.

Ἐπιστολὴ πρὸς Κορινθίους Α'. 199.

Ἐπιστολὴ πρὸς Κορινθίους Β'. 329.

Ἐπιστολαὶ δύο πρὸς Παρθένους· Συρολατ. 349.

Τεμάχια Πατέρων, ἀναγόμενα εἰς τὰς ἐπιστολὰς Κλήμεντος. 453.

ΑΜΦΙΒΑΛΛΟΜΕΝΑ.

Ἐπιστολαὶ πέντε· λατινιστί. 459.

* Προοίμια διαφόρων εἰς τὰς Διαταγὰς τῶν ἁγίων Ἀποστόλων· λατιν. 509.

* Μαρτυρίαι ἀρχαίων περὶ αὐτῶν. 544.

Διαταγαὶ τῶν ἁγίων Ἀποσόλων διὰ Κλήμεντος εἰς βιβλία ὀκτώ. 556-1156.

(α) Εἰς τόμ. δύο. (1-2).

(β) Τὰ ξένα ταῦτα τεμάχια διακρίνονται ἐν τῇ Κλειδὶ δι' ἀστερίσκου.

(γ) Οἱ ἀριθμοὶ σημαίνουσι τὰς σελίδας τῶν τόμων τῆς Πατρολογίας.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ Α'. ΒΙΒΛΙΟΥ.

Περὶ Λαϊκῶν. σελ. 557.

α'. Περὶ πλεονεξίας. Σελ. 560.

β'. Περὶ τοῦ μὴ ἀνθυβρίζειν, ἢ ἀμύνεσθαι τὸν ἀδικοῦντα. 561.

γ'. Περὶ καλλωπισμοῦ, καὶ τῆς ἐκεῖθεν ἁμαρτίας. 564.

δ'. Ὅτι οὐ δεῖ περιεργάζεσθαι τοὺς κακῶς ζῶντας, ἀλλὰ τῷ οἰκείῳ ἔργῳ σχολάζειν. 569.

ε'. Ποῖα τῆς Γραφῆς Βιβλία δεῖ ἀναγινώσκειν. 569.

ς'. Περὶ τοῦ ἀπέχεσθαι πάντων τῶν ἔξωθεν βιβλίων. 569.

ζ'. Περὶ γυναικὸς φαύλης. 576.

η'. Περὶ ὑποταγῆς γυναικὸς πρὸς ἄνδρα, καὶ φιλάνδρου, καὶ σώφρονος. 577.

θ'. Περὶ τοῦ μὴ συλλούεσθαι γυναῖκα ἀνδράσιν. 585.

ι'. Περὶ μαχίμου καὶ γλωσσώδους γυναικός. 588.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ Β'. ΒΙΒΛΙΟΥ.

Περὶ Ἐπισκόπων, Πρεσβυτέρων καὶ Διακόνων. 593.

α'. Ὅτι χρὴ τὸν ἐπίσκοπον εἶναι πεπαιδευμένον, καὶ ἔμπειρον τοῦ λόγου. 593.

β'. Οἷον εἶναι χρὴ τὸν ἐπίσκοπον, καὶ τοὺς λοιποὺς κληρικούς. Σελ. 597.
γ'. Τίνα χρὴ δοκιμάζεσθαι τὸν ἐπίσκοπον προχειριζόμενον. 597.
δ.' Ὅτι οὐχ ἑκάστῃ χήρᾳ δεῖ μεταδιδόναι, ἀλλ' ἐσθ' ὅτε καὶ τὴν ὕπανδρον προκρίνειν, καὶ ὅτι καταφαγῇ, μεθύσῳ, ἀργῷ, οὐ μεταδιδόναι χρή. 600.
ε'. Ὅτι χρὴ ἀπροσωπόληπτον εἶναι τὸν ἐπίσκοπον ἐν τῷ κρίνειν, καὶ τὸ ἦθος μέτριον, καὶ τὴν δίαιταν συνεσταλμένον. 601.
ς'. Περὶ τοῦ μὴ εἶναι τὸν ἐπίσκοπον αἰσχροκερδῆ, μήτε δὲ ἐγγυᾶσθαι, ἢ συνηγορεῖν. 601.
ζ'. Οἷον χρὴ εἶναι τὸν μεμυημένον. 608.
η'. Περὶ συκοφαντουμένου, ἤτοι ἐλεγχομένου. 608.
θ'. Ὅτι ἀδωροδόκητον εἶναι χρὴ τὸν ἐπίσκοπον. 608.
ι'. Ὅτι ὁ ἐπίσκοπος ἀκρίτως φειδόμενος τοῦ ἡμαρτηκότος, ὑπαίτιος γίνεται. 609.
ια'. Ὅπως χρὴ τὸν ἐπίσκοπον κρίνειν τοὺς ἁμαρτάνοντας. 612.
ιβ'. Διδασκαλία, ὅπως χρὴ προσφέρεσθαι τοῖς μετανοοῦσι. 613.
ιγ' Ὅτι φεύγειν χρὴ τῶν ἁμαρτημάτων τὴν πεῖραν. 616.
ιδ'. Περὶ τῶν λεγόντων μὴ δέχεσθαι μετανοοῦντα, καὶ ὅτι δίκαιος, κἂν σύνεστιν ἁμαρτωλῷ, οὐ συναπόλλυται αὐτῷ. 617.
ιε'. Ὅτι χρὴ τὸν ἱερέα μήποτε παρορᾶν τὰ ἁμαρτήματα, μήτε πρόχειρον εἶναι ἐν τῷ τιμωρεῖσθαι. 624.
ις'. Περὶ μετανοίας, καὶ τίς αὐτῆς ὁ τρόπος, καὶ ὅπως κατορθοῦται. 625.
ιζ'. Ὅτι ἀνεπίληπτον εἶναι χρὴ τὸν ἐπίσκοπον, ὡς τύπον τῶν ἀρχομένων. 628.
ιη'. Ὅτι χρὴ τὸν ἐπίσκοπον φροντίζειν, ὅπως ὁ λαὸς μὴ πλημμελῇ, διὰ τὸ εἶναι αὐτὸν σκοπόν. 629.
ιθ'. Ὅτι καὶ ὁ ποιμὴν, ἀμελῶς φερόμενος περὶ τὰ πρόβατα, δίκην τίνυσι, καὶ τὸ πρόβατον μὴ πειθαρχοῦν τῷ ποιμένι, κολάζεται. 633.
κ'. Ὅπως χρὴ τοὺς ἀρχομένους πειθαρχεῖν τοῖς ἄρχουσιν ἐπισκόποις. 633.
κα'. Ὅτι κίνδυνος μονομερῆ κρίσιν ποιήσασθαι, καὶ τιμωρίαν ὁρίσαι κατὰ τοῦ μηδέπω ἐλεγχθέντος. 637.
κβ'. Ὅτι μέγα παράδειγμα μετανοίας πρόκειται Δαυΐδ, καὶ Νινευΐται, Ἐζεχίας τε καὶ ὁ τούτου υἱὸς Μανασσῆς. Σελ. 641.
κγ'. Πρὸς τοὺς ἐκ καταφρονήσεως ἁμαρτάνοντας ἔστω παράδειγμα Ἀμών. 649.
κδ'. Ὅτι Χριστὸς Ἰησοῦς Κύριος παρεγένετο ἁμαρτωλοὺς σῶσαι διὰ μετανοίας. 652.
κε'. Περὶ ἀπαρχῶν καὶ δεκατῶν, καὶ ὅπως ὀφείλει ὁ ἐπίσκοπος, ἢ αὐτὸς μεταλαμβάνειν ἐξ αὐτῶν, ἢ ἑτέροις διανέμειν. 660.
κς'. Εἰς τίνος τύπον καὶ ἀξίαν ἕκαστος τῶν ἐν τῷ κλήρῳ τέτακται παρὰ Θεῷ. 665.
κζ'. Ὅτι φρικῶδες, ἄνθρωπον σαυτὸν ἐπιρρίπτειν ἀξιώματί τινι ἱερατικῷ· ὡς οἱ Κορεῖται, ὡς Σαοὺλ, ὡς Ὀζίας. 669.
κη'. Περὶ δοχῆς, καὶ ὅπως χρὴ ἕκαστον τάγμα τοῦ κλήρου ὑπὸ τῶν προσκαλουμένων τιμᾶσθαι. 672.
κθ'. Τίς ἡ ἀξία τοῦ ἐπισκόπου, καὶ τοῦ διακόνου. 676.
λ'. Ὅπως χρὴ τοὺς λαϊκοὺς πειθαρχεῖν τοῖς διακόνοις. 677.
λα'. Ὅτι μὴ χρὴ τὸν διάκονον ἄνευ τοῦ ἐπισκόπου τι πράττειν. 677.
λβ'. Ὅτι μὴ χρὴ τὸν διάκονον παρὰ γνώμην τοῦ ἐπισκόπου διδόναι τινὶ, ἐπὶ διαβολῇ γὰρ τοῦ ἐπισκόπου τοῦτο πράξει. 677.
λγ'. Ὅπως χρὴ τιμᾶσθαι τοὺς ἱερεῖς, καὶ σεπτοὺς ἡγεῖσθαι, πνευματικοὺς ὄντας γονεῖς. 680.
λδ'. Ὅτι τῶν ἀρχόντων καὶ βασιλέων εἰσὶ κρείττους οἱ ἱερεῖς. 681.
λε'. Ὅτι παρακελεύονται οἱ νόμοι καρποφορεῖν· ὡσαύτως καὶ τὸ Εὐαγγέλιον. 684.
λς'. Ὑπόμνησις τῶν δέκα τοῦ Θεοῦ λογίων, καὶ ὅπως αὐτὰ ἐνταῦθα διαγορεύουσι. 685.
λζ'. Περὶ κατηγόρων καὶ συκοφαντῶν· καὶ ὅπως χρὴ μὴ προχείρως πιστεύειν ἢ ἀπιστεῖν τούτοις τὸν κριτὴν, ἀλλὰ μετὰ ἀκριβοῦς ἐξετάσεως. 689.
λη'. Ὅτι χρὴ τοὺς ἁμαρτάνοντας ἰδιάζοντως ἐξελέγχειν, καὶ τοὺς μετανοοῦντας προσδέχεσθαι, κατὰ τὴν τοῦ Κυρίου διάταξιν. 692.
λθ'. Παραδείγματα περὶ μετανοίας. 692.
μ'. Ὅτι οὐ χρὴ ἐχθρικῶς διακεῖσθαι πρὸς τὸν ἅπαξ ἢ δεύτερον ἁμαρτάνοντα. 693.

μα'. Ὅπως δεῖ προσίεσθαι τὸν μετανοοῦντα, καὶ ὅπως διαγίνεσθαι πρὸς ἁμαρτάνοντας, καὶ πότε ἐκκόπτειν τῆς Ἐκκλησίας. Σελ. 696.
μβ'. Ὅτι χρὴ ἀπροσωπόληπτον εἶναι τὸν κριτήν. 700.
μγ'. Ὅπως χρὴ τοὺς συκοφάντας τιμωρεῖσθαι. 701.
μδ'. Ὅτι χρὴ τὸν διάκονον ἐπικουφίζειν τὸ βάρος τῶν ἐπισκόπων, καὶ διευθύνειν τὰ κουφότερα. 704.
με'. Ὅτι μὴ προσῆκον χριστιανοῖς ἀντιλογίαι καὶ διαπληκτισμοί. 705.
μς'. Ὅτι οὐ χρὴ τοὺς πιστοὺς ἐπὶ τῶν ἀπίστων δικάζεσθαι, οὔτε μὲν ἐξ αὐτῶν τινα καλεῖν εἰς μαρτυρίαν τὴν κατὰ χριστιανῶν. 705.
μζ'. Ὅτι χρὴ ἐν δευτέρᾳ σαββάτων ποιεῖσθαι τὰς δίκας. 708.
μη'. Ὅτι μὴ χρὴ τὴν αὐτὴν ἐπάγειν τιμωρίαν ἐπὶ πάσης πλημμελείας, ἀλλὰ διάφορον, πρὸς τὸ διάφορον τοῦ ἁμαρτάνοντος. 708.
μθ'. Ὁποίους εἶναι χρὴ τοὺς κατηγόρους, καὶ μάρτυρας. 709.
ν'. Ὅτι ἐγχωρεῖ, τινὰ καὶ ἐκ προτέρων κακῶν μὴ ἀπιστεῖσθαι τὰ δεύτερα. 712.
να'. Ὅτι οὐ χρὴ μονομερεῖς τὰς κρίσεις ποιεῖσθαι. 712.
νβ'. Παράδειγμα τοῦ δικαίου κρίματος, ἡ τῶν ἔξωθεν δικαστῶν περὶ τὰς ἀποφάσεις ἀσφαλεια. 713.
νγ'. Ὅτι μὴ χρὴ κατ' ἀλλήλων ἔχειν τοὺς πιστούς. 716.
νδ'. Ὅτι χρὴ τοὺς ἐπισκόπους τὰ περὶ εἰρήνης διὰ τοῦ διακόνου ὑπομιμνήσκειν τῷ λαῷ. 717.
νε'. Ἀπαρίθμησις διαφόρου προνοίας, καὶ ὅπως ἐξ ἀρχῆς καθ' ἑκάστην γενεὰν ἐκάλεσεν ὁ Θεὸς εἰς μετάνοιαν πάντας. 720.
νς'. Ὅτι θέλημα τοῦ Θεοῦ, ὁμόφρονας εἶναι τοὺς ἀνθρώπους περὶ τὴν εὐσέβειαν, παραπλησίως ταῖς ἐν οὐρανῷ δυνάμεσι. 721.
νζ'. Διατύπωσις Ἐκκλησίας καὶ κλήρου, καὶ τί ἕκαστος ἐπιτελεῖν ὀφείλει τῶν συναθροιζομένων κληρικῶν ἢ λαϊκῶν ἐν τῇ συνάξει. 724.
νη'. Περὶ συστατικῶν, ἤτοι ξένων, λαϊκῶν, κληρικῶν, ἐπισκόπων· καὶ ὡς οὐ χρεία διαφορεῖν. 737.
νθ'. Ὅτι χρὴ ἕκαστον ὄρθρου καὶ ἑσπέρας σπουδαῖον εἶναι περὶ τὰς συνάξεις. 741.
ξ'. Παράδειγμα πρὸς ζῆλον ἐνάγον, ἡ Ἑλλήνων καὶ Ἰουδαίων μάταιος συνδρομὴ ἐπὶ τοὺς νεὼς καὶ τὰς συναγωγάς. Σελ. 745.
ξα'. Ὅτι οὐχ ὅσιον προκρίνειν τὰ βιωτικὰ τῶν θείων. 748.
ξβ'. Ὅτι πάντα τὰ Ἑλλήνων ἀσεβήματα ἀποστρέφεσθαι χρή. 752.
ξγ'. Ὅτι ἀργὸν οὐ χρὴ ἐσθίειν τινὰ τῶν πιστῶν· ὡς οἱ περὶ Πέτρον ἁλιεῖς, καὶ οἱ λοιποὶ ἀπόστολοι, οἱ δὲ περὶ Παῦλον καὶ Ἀκύλαν σκηνοποιοί, οἱ δὲ περὶ Ἰούδαν Ἰακώβου γῆς ἐργάται. 753.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ Γ'. ΒΙΒΛΙΟΥ

Περὶ Χηρῶν.

α'. Ἐν ᾧ, ὁποῖαί εἰσιν ἀληθῶς καὶ ὄντως χῆραι. Σελ. 760.
β'. Ὅτι παραιτητέον καθιστᾶν νεωτέρας χήρας διὰ τὸ ὕποπτον. 761.
γ'. Ὁποίας εἶναι χρὴ τὰς χήρας, καὶ ὅπως ἐπικουρεῖσθαι παρὰ τοῦ ἐπισκόπου. 765.
δ'. Ὅτι πανθ' ὁντινοῦν ἐνδεῆ εὐποιεῖν χρή. 765.
ε'. Ὅτι καὶ τοῦ ἤθους ἐπιμελητέον τὴν χήραν. 768.
ς'. Ὅτι οὐ χρὴ γυναῖκας διδάσκειν, ἀπρεπὲς γάρ· καὶ ποῖαι γυναῖκες εἴποντο τῷ Κυρίῳ. 769.
ζ'. Οἷαί εἰσιν αἱ ψευδοχῆραι. 777.
η'. Ὅτι οὐ χρὴ παρὰ ἀναξίων λαμβάνειν τὴν χήραν, ἢ τὸν ἐπίσκοπον, ἢ ἄλλον πιστόν. 780.
θ'. Ὅτι οὐ χρὴ γυναῖκας βαπτίζειν· ἀσεβὲς γάρ, καὶ τῆς Χριστοῦ διδασκαλίας ἀλλότριον. 781.
ι'. Ὅτι οὐ χρὴ λαϊκὸν ποιεῖν ἱερατικὸν ἔργον· βάπτισμα, ἢ θυσίαν, ἢ χειροθεσίαν, ἢ εὐλογίαν. 788.
ια'. Ὅτι, πλὴν ἐπισκόπου ἢ πρεσβυτέρου, οὐδενὶ τῶν λοιπῶν κληρικῶν ἐπιτέτραπται τὰ τῶν ἱερέων ἐνεργεῖν· τὸ δὲ χειροτονεῖν μόνῳ ἐπισκόπῳ προσήκει, ἑτέρῳ δὲ οὐδενί. 788.
ιβ'. Ἀποτροπὴ βασκανίας. 789.
ιγ'. Ὅπως δεῖ προσεύχεσθαι τὰς χήρας ὑπὲρ τῶν διδόντων τὰ πρὸς τὰς χρείας. 789.

ιδ'. Ὅτι οὐ χρὴ κομπάζειν, καὶ περιαγγέλλειν τὸ ἑαυτῆς ὄνομα, τὴν καρποφοροῦσαν κατὰ τὴν τοῦ Κυρίου διάταξιν. Σελ. 792.
ιε'. Ὅτι ἀπρεπὲς τὸ λοιδορεῖν τὸν πλησίον· ἀλλότριον γὰρ Χριστιανῶν τὸ καταρᾶσθαι. 793.
ις'. Περὶ μυήσεως θείας τοῦ ἁγίου βαπτίσματος. 797.
ιζ'. Ποίαν αἰτίαν ἔχει τὸ εἰς τὸν Χριστὸν βάπτισμα· καὶ διατὶ τῶν ἐν αὐτῷ ἕκαστον λέγεταί τε καὶ πράττεται. 800.
ιη'. Οἷος ὀφείλει εἶναι ὁ μεμυημένος. 800.
ιθ'. Οἷος ὀφείλει εἶναι ὁ διάκονος. 801.
κ'. Ὅτι ὑπὸ τριῶν ἢ δύο ἐπισκόπων ὀφείλει χειροτονεῖσθαι ὁ ἐπίσκοπος, ἀλλ' οὐχ ὑπὸ ἑνός· ἀβέβαιον γάρ. 804.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ Δ'. ΒΙΒΛΙΟΥ.

Περὶ Ὀρφανῶν.

α'. Ἐν ᾧ, καὶ ὅπως χρὴ τὸν ἐπίσκοπον προνοεῖν τῶν τοιούτων. 808.
β'. Ὅπως χρὴ τὸν ἐπίσκοπον προνοεῖν τῶν ὀρφανῶν. 808.
γ'. Τίνες ὀφείλουσιν ἐπικουρεῖσθαι, κατὰ τὴν Κυριακὴν διαταγήν. 808.
δ'. Περὶ φιλαργυρίας. 809.
ε'. Μετὰ ποίου φόβου χρὴ τῶν κυριακῶν μετέχειν συνεισφορῶν. 809.
ς'. Τίνων αἱ καρποφορίαι δεκταὶ, καὶ τίνων ἄδεκτοι. 812.
ζ'. Ὅτι αἱ τῶν ἀναξίων καρποφορίαι, ἕως ἂν ὦσι τοιοῦτοι, οὐ μόνον οὐκ ἐξιλεοῦνται τὸν Θεὸν, ἀλλ' ἐκ τῶν ἐναντίων κινοῦσιν αὐτὸν πρὸς ἀγανάκτησιν. 817.
η'. Ὅτι βέλτιον ἐκ κόπου ἰδίου παρέχειν ταῖς χήραις, κἂν ᾖ εὐτελῆ καὶ ὀλίγα, ἢ τὰ παρὰ τῶν ἀσεβῶν, κἂν πολλὰ καὶ μεγάλα τυγχάνῃ· βέλτιον γὰρ λοιμῷ διαφθαρῆναι, ἢ παρὰ ἀσεβῶν συνεισφορὰν δέξασθαι. 820.
θ'. Ὅτι χρὴ προτρέπεσθαι τὸν λαὸν ὑπὸ τοῦ ἱερέως εὐ ποιεῖν τοὺς πένητας· ὡς καὶ ὁ Σολομὼν ὁ σοφός. 820.
ι'. Διάταξις, ἵν' ἐάν τις τῶν ἀσεβῶν, βίᾳ προσρίψῃ χρήματα τοῖς ἱερεῦσιν, εἰς ξύλα καὶ ἀνθρακιὰν ἀναλώσωσι ταῦτα, ἀλλὰ μὴ εἰς διατροφάς. 821.
ια'. Περὶ γονέων καὶ παίδων. 821.
ιβ'. Περὶ οἰκετῶν καὶ δεσποτῶν. Σελ. 824.
ιγ'. Ἐν τίσιν ὑποτάσσεσθαι χρὴ τοῖς κοσμικοῖς ἄρχουσιν. 825.
ιδ'. Περὶ παρθένων. 825.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ Ε'. ΒΙΒΛΙΟΥ

Περὶ Μαρτύρων.

α'. Ὅτι τοῖς διὰ Χριστὸν θλιβομένοις παρὰ ἀπίστων, δίκαιον τοῖς πιστοῖς τὰ δέοντα παρέχειν, κατὰ τὴν τοῦ Κυρίου διάταξιν. 828.
β'. Ὅτι φευκτέον τὰς πρὸς τοὺς ψευδαδέλφους συνουσίας, ὅταν ἐπιμένωσι τῇ φαυλότητι. 832.
γ'. Ὅτι τοῖς διὰ Χριστὸν πορθουμένοις χρὴ χεῖρα ὀρέγειν, κἂν κίνδυνος παρῇ. 832.
δ'. Ὅτι φρικτὸν καὶ ὀλέθριον, τὸ ἀρνεῖσθαι Χριστόν. 833.
Λ'. Περὶ τοῦ διὰ τὴν ἰσοτιμίαν τῆς Τριάδος, τὸν Πατέρα ἀποκαλύπτειν ἡμῖν τὸν Υἱὸν, καὶ ἕλκειν ἡμᾶς πρὸς αὐτόν· καὶ πάλιν αὐτὸν τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα προσάγειν ἡμᾶς τῷ Πατρί. Ἐν ταὐτῷ καὶ περὶ τῆς ὁμολογίας Πέτρου· καὶ ὅτι ἔστι μετάνοια. 416.
ΛΑ'. Περὶ τοῦ μὴ εἶναι τέλος τῆς βασιλείας τοῦ Μονογενοῦς. 421.
ΛΒ'. Περὶ δοξολογίας αὐτοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ. 425.
ΛΓ'. Περὶ προσκυνήσεως. Ἀνακεφαλαίωσις. 432.
ΛΔ'. Περὶ τῆς πρὸς τὸν Θεὸν Πατέρα πίςεως. 433.
ΛΕ'. Ὅπως χρὴ νοεῖν τὰς θεολογίας τῶν Γραφῶν. 437.
ΛΣ'. Καὶ τοῦτο περὶ τοῦ αὐτοῦ. 437.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ Β'. ΒΙΒΛΙΟΥ (α)

Α'. Περὶ τοῦ τὴν ἁγίαν Τριάδα ἀκατάληπτον εἶναι. 448.
Β'. Περὶ τοῦ τὸ ἅγιον Πνεῦμα εἶναι τοῦ Θεοῦ. Καὶ περὶ αἱρετικῆς ἀντιθέσεως. 453.
Γ'. Περὶ τοῦ ἐκ διαφόρων ὀνομάτων σημαίνεσθαι τὴν θεϊκὴν φύσιν τοῦ ἁγίου Πνεύματος. 465.
Δ'. Περὶ τῶν λεγόντων αἱρετικῶν· Πνεῦμα ὁ Θεός· καὶ πῶς τοῦ Πνεύματος Πνεῦμα τὸ ἅγιον Πνεῦμά ἐστι; καὶ τὰ λοιπά. 480.
Ε'. Περὶ τῶν λεγόντων, μονογενοῦς ὄντος τοῦ Θεοῦ Λόγου, τί τὸ Πνεῦμα καλέσωμεν; καὶ τὰ λοιπά. 489.
Σ'. Ὅτι πάντα, ὅσα ἴδια θεότητος, μαρτυρεῖσθαι περὶ τοῦ ἁγίου Πνεύματος οὕτως. 508.
α'. Ὅτι οὐ κατὰ αἱρετικοὺς πρῶτον κτίσμα ἐστὶν, ἀλλὰ Θεός. 508.
β'. Ὅτι πληροῖ τὴν οἰκουμένην καὶ συνέχει τὰ πάντα. 509.
γ'. Ὅτι ἄφθαρτον. 512.
δ'. Ὅτι αἰώνιον. 516.
ε'. Ὅτι ὡς ἄτρεπτον ἀρετῆς τε, κακίας τε, ἀνεπίδεκτόν ἐστιν. 524.
ς'. Ὅτι φύσει ἅγιον, καὶ ἁγιάζον καὶ δικαιοῦν. 524.
ζ'. Ὅτι μεθεκτὸν οὐσιωδῶς ἐστι· Θεοῦ δέ ἴδιον τοῦτο. 529.
η'. Ὅτι ἀγαθὸν, αὐτὸ τίκτον τὰς ἐν τῇ κτίσει ἀγαθότητας, καὶ ἀληθείας καὶ σοφίας, καὶ ἀγάπης· καὶ ἐν αὐτῷ συνεπινοεῖται πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον. 529.
θ'. Ὅτι φιλάνθρωπον. 536.
ι'. Ὅτι φύσει ἐλεύθερον, καὶ οὐ δοῦλον· καὶ ὡς Θεὸς καὶ Κύριος ἐλευθεροῖ, καὶ υἱοὺς Θεοῦ ποιεῖ. 536.
ια'. Ὅτι ἐπιτάσσει, οὐχ ὑπουργεῖ. 537.
ιβ'. Ὅτι ἐνδυναμοῖ. 537.
ιγ'. Ὅτι ἀψευδές· ὅπερ ἴδιον μόνου Θεοῦ. 540.
ιδ'. Ὅτι ἀλήθεια, διὰ τὸ μὴ διαφωνεῖν αὐτὸ πρὸς τὴν μίαν θεότητα. 540.
ιε'. Ὅτι οὐδεὶς οἶδε τὰ τοῦ Θεοῦ, εἰμὴ τὸ ἅγιον Πνεῦμα· καὶ ὅτι διὰ τὴν πρὸς τὸν Πατέρα ἰσότητα, τὸ ἀνάπαλιν ὁ Θεὸς οἶδε τὰ τοῦ ἁγίου Πνεύματος. 541.
ις'. Ὅτι οὐδεὶς ὁρᾷ τὸν Θεὸν καὶ Πατέρα, ἢ μόνος ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα. Καὶ πρὸς τοὺς λέγοντας· οὐ γέγραπται οὖν, φασὶν, ὅτι οἱ ἄγγελοι βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός; 544.
ιζ'. Ὅτι τὸ ἅγιον Πνεῦμα τὴν κτίσιν υἱοθεσίας ἀξιοῖ· αὐτὸ δὲ ἐκ τῆς ὑποστάσεως τοῦ Θεοῦ ἐκπορεύεται. 544.
ιη'. Ὅτι οὐχ ὑμνεῖ, ὡς ἡ ἄλλη κτίσις· ἐπειδὴ αὐτὸ τῶν ὑμνουμένων ἐστίν. 544.
ιθ'. Ὅτι μετὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ συνονομάζεται. Καὶ περὶ αἱρετικῆς ἀντιθέσεως. 548.
κ'. Ὅτι κοινωνεῖ, ὡς τῇ οὐσίᾳ, οὕτω καὶ τοῖς ὀνόμασι, τῷ Θεῷ Πατρὶ καὶ τῷ μονογενεῖ αὐτοῦ Υἱῷ. 552.

(α) Ἐπειδὴ ἐν τῷ κειμένῳ αἱ πλεῖσται τῶν ἐπιγραφῶν τῶν κεφαλαίων λείπουσιν, παρελήφθησαν αὗται ἐκ τοῦ πίνακος σελ. 441.

κα'. Ὅτι ἕν ἐστι, καὶ οὐ πολλά, ὡς τὰ κτίσματα. 553.

κβ'. Ὅτι διὰ τὸ ὁμοούσιον, καὶ ἄναρχον γέγραπται εἶναι ὕδωρ ζωῆς, ἐκ τῆς πατρικῆς πηγῆς ἐκπορευόμενον. 553.

κγ'. Ὅτι τῷ ἁγίῳ Πνεύματι ἐχρίσθη ὁ Σωτήρ· οὐκ ἂν δὲ εἰ κτίσμα ἦν, τῷ ἰδίῳ ἐχρίσατο ποιήματι ὁ ἄκτιστος. Καὶ ὅτι καὶ ἡμεῖς χρίσμα ἔχομεν αὐτοῦ. 556.

Ζ'. Περὶ τῶν θείκῶν ἐνεργειῶν καὶ παροχῶν τοῦ ἁγίου Πνεύματος. 552.

Η'. Περὶ τῆς προγνώσεως, καὶ αὐτεξουσιότητος τοῦ ἁγίου Πνεύματος. 600.

Θ'. Λείπει (ἐν δὲ τῷ πίνακι τῶν κεφαλαίων σελ. 445, εὑρίσκεται ἡ περίληψις αὐτοῦ ἔχουσα ὡς ἑξῆς).

Περὶ τοῦ, τὸ ἅγιον Πνεῦμα εἶναι ὁμοούσιον τῷ Πατρὶ καὶ τῷ Υἱῷ· σημαίνεσθαι δὲ Παντοκράτορα. Ἐνταὐτῷ περὶ τῆς ἀδιοδεύτου παρθενικῆς πύλης.

Ι'. Λείπει ἡ ἀρχή. Περὶ τοῦ μαρτυρεῖσθαι, ὅτι τὸ ἅγιον Πνεῦμα Θεὸς, καὶ Κύριος, καὶ δοξαζόμενος. Καὶ ἀντίθεσις τῆς Μακεδονιακῆς διδασκαλίας. 632.

ΙΑ'. Περὶ τοῦ αὐτοῦ καὶ ὅτι ἐπὶ τοῦ χερουβικοῦ θρόνου καθέζεται τὸ ἅγιον Πνεῦμα, καὶ δύναμιν ἐξαποστέλλει. Καὶ ὅτι ὁ Παῦλος αὐτὸ οἶδεν εἶναι τὸν ὀρθέντα τῷ Ἠσαΐᾳ Κύριον Σαβαώθ. Καὶ κατὰ τοῦ Μακεδονιανοῦ φρονήματος. Καὶ ὅτι ἐν ἡμῖν οἰκεῖ. Καὶ ὅτι ῥαδιουργοῦσιν αἱρετικοὶ τὰς θείας Γραφάς. 652.

ΙΒ'. Περὶ τοῦ τὸ ἅγιον Πνεῦμα, ἀνακαινίζειν ἡμᾶς τῷ βαπτίσματι· καὶ ὡς Δεσπότην ἐλευθεροῦν· καὶ ποιεῖν μετόχους θείας δόξης, καὶ υἱοὺς καὶ κληρονόμους τοῦ Πατρός· καὶ τὰ λοιπά. Καὶ περὶ τοῦ ἀνόνητον εἶναι τὸ βάπτισμα τοῖς μὴ πιστεύουσιν ὅτι Θεὸς τὸ Πνεῦμα· καὶ ὅτι ἄλλη ἡλίου δόξα, καὶ ἄλλη σελήνης καὶ ἀστέρων. 668.

ΙΓ'. Περὶ τῶν πρὸς εὐτέλειαν τοῦ Πνεύματος ἐπιφερόντων τό: «Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος». 688.

ΙΔ'. Περὶ τοῦ ἀπὸ καταβολῆς κόσμου τὰ ὕδατα ἡγιᾶσθαι ὑπὸ τοῦ ἁγίου Πνεύματος, καὶ προῳκονομεῖσθαι ἡμῶν τὴν ἀπὸ τοῦ βαπτίσματος σωτηρίαν. Καὶ περὶ τοῦ Ἰσραηλίτας σωτηρίας τετυχηκέναι ἀπὸ τῆς οὔσης ποτὲ εἰκόνος τοῦ βαπτίσματος· πολλῷ δὲ πλέον τοὺς νῦν βαπτιζομένους, καὶ προϊκα δικαιουμένους, καὶ μακαριζομένους. 692.

ΙΕ'. Περὶ τοῦ Γραφὴν ἐν πολλοῖς, καὶ μάλιστα ἐπὶ τοῦ βαπτίσματος, μόνου τοῦ ἁγίου Πνεύματος, καὶ τῆς σφραγῖδος αὐτοῦ, ἧς ἔχομεν, μνημονεύειν. 717.

ΙΣ'. Περὶ τοῦ ἐπιτετελεκέναι ἀεὶ τυπικῶς Ἰσραηλίτας, εἰς μὲν τιμὴν καὶ δόξαν τοῦ ἁγίου Πάσχα τοῦ Χριστοῦ, τὴν ἡμέραν τῶν Ἀζύμων· εἰς δὲ τιμὴν καὶ δόξαν τῆς σεπτῆς ἐπιδημίας τοῦ ἁγίου Πνεύματος, τὴν παρ' ἐκείνοις ἡμέραν τῆς Πεντηκοστῆς· προηγορεῦσθαι δὲ διὰ τῆς ἑορτῆς τῶν Σκηνοπηγίων τὰς συνάξεις τῶν Ἐκκλησιῶν καὶ μαρτυρίων. 721.

ΙΖ'. Περὶ τοῦ τὸ ἅγιον Πνεῦμα συμπαρεῖναι καὶ συνεργεῖν ἀεὶ τῷ Θεῷ Πατρὶ, καὶ ἐνδυναμοῦν ἡμᾶς. Καὶ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν διδασκαλίαν, ὁμότιμον καὶ σύμφωνον εἶναι τῆς τοῦ Υἱοῦ· καὶ εὔχεσθαι τὸν πνευματοφόρον Δαυὶδ στηριχθῆναι ὑπ' αὐτοῦ. 721.

ΙΗ'. Περὶ τοῦ τοὺς δώδεκα ἀποστόλους, τῇ δυνάμει τοῦ Πνεύματος καθοπλισθέντας, μόνους ἀντιστῆναι τῇ οἰκουμένῃ καὶ τῷ διαβόλῳ, λαλοῦντας καὶ νοοῦντας πᾶσαν γλῶσσαν. Καὶ περὶ τοῦ εἰπόντος εὐνούχου· «Ἰδοὺ ὕδωρ· τί κωλύει με βαπτισθῆναι;» 725.

Θ'. Λείπει ἡ ἀρχή. Περὶ τῶν λεγόντων· «Διὰ τί, ὡς ὁ Υἱὸς τρανῶς Θεὸς προσηγόρευται μὴ καὶ τὸ ἅγιον Πνεῦμα;» Καὶ περὶ τοῦ κοινὸν ὄνομα εἶναι τῇ ἁγίᾳ Τριάδι τὸ Θεὸς, καὶ τὸ Κύριος, ὡς ἡ θεότης καὶ κυριότης μία. 729.

Κ'. Περὶ τοῦ τὸν χοϊκὸν ἄνθρωπον μὴ ἔχειν τὸ ἅγιον Πνεῦμα, ἀλλὰ τὸν πιστὸν, καὶ βαπτίσματος καταξιωθέντα· αὐτόν τε δύνασθαι, πρὸς τὸ μέτρον τῆς φύσεως ἡμῶν καὶ τὴν δόξαν τοῦ ἁγίου Πνεύματος, τῷ τῆς ψυχῆς ὄμματι καθορᾷν. 736.

ΚΑ'. Περὶ τῶν λεγόντων· «ὅτι ἐν τῷ ἁγίῳ Πνεύματι δοξάζεται ὁ Θεὸς, οὐ μὴν τὸ ἅγιον Πνεῦμα. Καὶ περὶ τοῦ· «Οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰμὴ ἐν Πνεύματι ἁγίῳ.» Καὶ περὶ τοῦ τὸ ἀναγεννᾷν τῷ βαπτίσματι τοῦ δοξάζεσθαι ἢ προσκυνεῖσθαι μεῖζον καὶ τιμιώτερον καθεστάναι. 741.

ΚΒ'. Λείπει, (ἐν δὲ τῷ πίνακι τῶν κεφαλαίων σελ. 448 εὑρίσκεται ἡ περίληψις αὐτοῦ

ἔχουσα ὡς ἑξῆς): Περὶ τοῦ, διὰ τὸ τέλειον τῆς περὶ τὸ ἅγιον Πνεῦμα καὶ τὸν Υἱὸν πίστεως, μείζονα εἶναι τὴν Ἐκκλησίαν τῆς συναγωγῆς. 448.

ΚΓ'. Καὶ περὶ δοξολογίας. 741.

ΚΔ'. Περὶ τῶν ἀντιδιαταττομένων καὶ παρερμηνευόντων τὰς Γραφὰς αἱρετικῶν. Ἐν ταὐτῷ, περὶ τοῦ μὴ παραβλέπειν Πατέρας. 745.

ΚΕ'. Ἐπανάληψις, ἤγουν ἐπαναδίπλωσις. 748.

ΚΣ'. Περὶ τῆς ὁρισθείσης ὑπὸ τοῦ Θεοῦ ἀπειλῆς κατὰ τῶν ἀθετούντων τὸν Υἱὸν αὐτοῦ καὶ τὸ ἅγιον Πνεῦμα. 749.

ΚΖ'. Περὶ τοῦ τῶν Ἑλλήνων τοὺς λογάδας τὸ πρὸς τὸν Θεὸν ὁμοούσιον τοῦ ἁγίου Πνεύματος γεγραφέναι, καὶ τὸ ἐξ αὐτοῦ ἐκπορεύεσθαι. 753.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ Γ'. ΒΙΒΛΙΟΥ (α)

Προβλήματα αἱρετικῶν ἀπὸ τῶν διαγορευουσῶν Γραφῶν τὰ ὑποτεταγμένα ῥήματα. Καὶ ἀντιθέσεις ὀρθοδόξων. Κεφ. ΜΒ'.

Α'. Πρόλογος περὶ παθῶν τῶν ἐκ σώματος καὶ προαιρέσεως ψυχῆς. 773.

Β'. Περὶ θεολογιῶν κεφ. νε'. 785—805.

Γ'. Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ. 805.

Δ'. Πρωτότοκος πάσης κτίσεως· ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν οὐρανοῖς καὶ τὰ ἐπὶ γῆς. 828.

Ε'. Ἐγώ εἰμι ἡ ἀρχὴ καὶ τὸ τέλος. 840.

Σ'. Γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ, ὅτι καὶ Κύριον αὐτὸν καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε· καὶ, ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ· καὶ, δέξασθε τὸν ἀρχιερέα· καὶ, ὃς ἐγεννήθη σοφία ὑμῖν ἀπὸ Θεοῦ· καὶ, ἐκλελοχισμένος ἀπὸ μυριάδων. 841.

Ζ'. Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν. 849.

Η'. Πρὸς τὸ γεγράφθαι ἄμπελον τὸν Χριστὸν, κλήματα ἀνθρώπους, γεωργὸν τὸν Θεὸν Πατέρα. 849.

Θ'. Μέγα σοί ἐστι κληθῆναί σε παῖδά μου· καὶ, ὁ ὁρισθεὶς Υἱὸς Θεοῦ ἐν δυνάμει κατὰ Πνεῦμα ἁγιωσύνης· καὶ, ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῆς δόξης· καὶ, ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Θεόν μου. 852.

Ι'. Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὕψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· καὶ, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος. 853.

ΙΑ'. Ἐγὼ ζῶ διὰ τὸν Πατέρα. 860.

ΙΒ'. Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ' ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τοῦ πέμψαντός με Πατρός. 860.

ΙΓ'. Διὰ τοῦτο ἔχρισέ σε, Θεὲ, ὁ Θεός σου· καὶ, ὃν ὁ Πατὴρ ἡγίασε καὶ ἀπέστειλεν εἰς τὸν κόσμον. 860.

ΙΔ'. Οὐκ ἐγκαταλείψει τὴν ψυχήν μου εἰς ᾅδου· καὶ περὶ τοῦ, τὸν Χριστὸν Ἰησοῦν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν. 861.

ΙΕ'. Οὐδεὶς ἀγαθὸς εἰμὴ εἷς ὁ Θεός. 864.

ΙΣ'. Τῷ δὲ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ, τιμὴ καὶ δόξα· καὶ, Μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· καὶ περὶ τῶν λεγόντων· Οὐκ εἰσὶν οὖν αἱ ψυχαὶ καὶ οἱ ἄγγελοι ἀθάνατοι καὶ ἀόρατοι; 865.

ΙΖ'. Ὥσπερ γὰρ ὁ Πατὴρ ζωὴν ἔχει ἐν ἑαυτῷ, οὕτως ἔδωκε τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ· καὶ, Ἐξουσίαν ἔδωκεν αὐτῷ κρίσιν ποιεῖν, ὅτι Υἱὸς ἀνθρώπου· καὶ πάλιν· Οὓς ἔδωκάς μοι ἐκ τοῦ κόσμου, σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς ἔδωκας· καὶ πάλιν· Πάντα μοὶ παρεδόθη παρὰ τοῦ Πατρός· καὶ πάλιν· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Καὶ θέα τοιαῦτα. Καὶ τὸ τοῦ Δαβίδ· Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου. 873.

ΙΗ'. Ὁ πέμψας με Πατὴρ μείζων μού ἐστιν· ἐνταὐτῷ περὶ Μοντανιστῶν καὶ Μανιχαίων. 880.

ΙΘ'. Ὁ Πατὴρ ἐντολήν μοι δέδωκε, τί εἴπω καὶ τί λαλήσω. Περὶ δὲ τοῦ ἁγίου Πνεύματος. Ἀφ' ἑαυτοῦ οὐ λαλήσει· καὶ, Ἀπ' ἐμαυτοῦ οὐκ ἐλάλησα· καὶ, Καθὼς ἐνετείλατό μοι ὁ Πατὴρ, οὕτω ποιῶ· καὶ, Ὁ λόγος ὃν ἀκούετε, οὐκ ἔστιν ἐμὸς, ἀλλὰ τοῦ πέμψαντός με. 888.

Κ'. Ὅταν παραδιδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρὶ, καὶ ὅταν ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσε-

---

(α) Ἐπειδὴ ἐν τῷ κειμένῳ αἱ πλεῖσται τῶν ἐπιγραφῶν λείπουσι παρελήφθησαν καὶ αὗται ἐκ τοῦ πίνακος σελ. 769.

ται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν. Ἐν ταὐτῷ, ὅτι τὴν οἰκονομίαν, ὅτε ἄνθρωποι, τότε καὶ ἄγγελοι διὰ τοὺς ἀνθρώπους ἔγνωσαν. 898.

ΚΑ'.Πάτερ, εἰ δυνατόν, παρελθέτω τὸ ποτήριον τοῦτο· καὶ περὶ τοῦ, Σῶσόν με ἐκ τῆς ὥρας ταύτης· καὶ, Θεέ μου, Θεέ μου, ἵνα τί μὲ ἐγκατέλειπες; καὶ, Περίλυπός ἐστιν ἡ ψυχή μου μέχρι θανάτου. Καὶ περὶ τοῦ δακρῦσαι ἐπὶ Λαζάρῳ καὶ κοπιάσαι, καὶ προσεύξασθαι, καὶ πεινῆσαι, καὶ ὑπνῶσαι, καὶ ὅσα τοιαῦτα. Ἐν ταὐτῷ, ὅτι μετ' αὐτοῦ ἦν ὁ Πατὴρ καὶ τὸ ἅγιον Πνεῦμα. 900.

ΚΒ'.Οὐδεὶς οἶδε τὴν ἐσχάτην ἡμέραν οὐδὲ οἱ ἄγγελοι, οὐδὲ ὁ Υἱός. 916

ΚΓ'.Ὅτι οὐδεὶς Θεὸς, εἰμὴ εἷς. Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ, εἴτε ἐν οὐρανῷ εἴτε ἐπὶ γῆς, ὥσπερ εἰσὶ θεοὶ πολλοὶ καὶ κύριοι πολλοί· ἡμῖν δὲ εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα. Ἐν ταὐτῷ, ὅτι ὁ Θεὸς οὐ πρωτεύει τοῦ ὁ Κύριος, ἀλλ' ἀμφότερα ταῖς τρισὶν ἁρμόζει ὑποστάσεσι· πολλάκις δὲ καὶ προτάσσεται τὸ ὁ Κύριος τοῦ ὁ Θεός. 921.

ΚΔ'.Περὶ τοῦ Ἕλληνας πρὸς τὴν ἰδίαν πλάνην νοεῖν τὸ, Εἴ τινές εἰσι λεγόμενοι θεοὶ, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς. 936.

ΚΕ'.Δόξασόν με σὺ, Πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ, ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. 940.

ΚΣ'.Ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ. 941.

ΚΖ'.Μεσίτης Θεοῦ καὶ ἀνθρώπων ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. 941.

ΚΗ'.Περὶ τοῦ ἄνευ τοῦ Υἱοῦ μὴ δεδωρῆσθαι κατ' ἐνίους τὰ πρὸ τῆς ἐν κόσμῳ παρουσίας αὐτοῦ χαρίσματα. 944.

ΚΘ'.Περὶ τοῦ, αἰτούσῃ τῇ μητρὶ τῶν υἱῶν Ζεβεδαίου, ὥστε καθεσθῆναι ἐκ δεξιῶν αὐτοῦ καὶ ἐξ ἀριστερῶν ἐν τῇ μελλούσῃ κρίσει τοὺς δύο αὐτῆς υἱοὺς, εἰπεῖν τὸ, Οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται ὑπὸ τοῦ Πατρός. 945.

Λ'. Πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου. 949.

ΛΑ'. Ἑτοιμάζου τοῦ ἐπικαλεῖσθαι τὸν Θεόν σου Ἰσραήλ· διότι ἰδοὺ ἐγὼ στερεῶν βροντὴν, καὶ κτίζων πνεῦμα, καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ. 949.

ΛΒ'.Περὶ τῶν λεγόντων· Πάντα διὰ τοῦ Υἱοῦ ἐγένετο· εἰς πάντα οὖν ἔστι καὶ τὸ ἅγιον Πνεῦμα. 957.

ΛΓ'.Περὶ τοῦ τὸν Χριστὸν εἰρηκέναι· καὶ πῶς Δαβὶδ ἐν Πνεύματι ἁγίῳ καλεῖ αὐτὸν Κύριον λέγων· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου; 957.

ΛΔ'.Περὶ τοῦ, Οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὔπω ἐδοξάσθη. 960.

ΛΕ'.Περὶ τοῦ γράφειν· Αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις· ὁ δὲ ἐρευνῶν τὰς καρδίας οἶδε, τί τὸ φρόνημα τοῦ Πνεύματος, ὅτι κατὰ Θεὸν ὑπερεντυγχάνει ὑπὲρ ἁγίων. 961.

ΛΣ'.Αὕτη γάρ ἐστιν ἡ αἰώνιος, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν· καὶ πάλιν· Πιστεύετε εἰς τὸν Θεόν; καὶ εἰς ἐμὲ πιστεύετε· Οὐκ εἶπε δὲ, φησίν. Καὶ εἰς τὸ ἅγιον Πνεῦμα. 965.

ΛΖ'.Οὐδεὶς γινώσκει τὸν Πατέρα, εἰμὴ ὁ Υἱός· οὐδὲ τὸν Υἱόν τις ἐπιγινώσκει, εἰμὴ ὁ Πατήρ. Καὶ πρὸς τοὺς λέγοντας· Ἐρευνᾶν τὸ ἅγιον Πνεῦμα τὰ βάθη τοῦ Θεοῦ, ὡς ἐσθ' ὅτε ἀγνοοῦν. 968.

ΛΗ'.Περὶ τοῦ ἀφορίζειν αὐτοὺς μόνῳ τῷ ἁγίῳ Πνεύματι τὸ ὄνομα τοῦ Παρακλήτου· λέγειν δὲ, ὅτι καὶ ἀπεστάλη παρὰ τοῦ Υἱοῦ. Καὶ περὶ τοῦ καὶ τὸν Υἱὸν ἀπεστάλθαι παρὰ τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος. Ἐν ταὐτῷ καὶ περὶ Μοντανοῦ. 972.

ΛΘ'.Περὶ τοῦ, Ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα αὐτοῦ ἐν ταῖς καρδίαις ἡμῶν, κράζον: Ἀββᾶ, ὁ Πατήρ. 977.

Μ'. Πρὸς τὸ εἰπεῖν τὸν Υἱὸν περὶ τοῦ Πνεύματος· Ἐκεῖνός ἐμε δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. 981.

ΜΑ'.Περὶ τῶν Μοντανιστῶν οὕτωσί:

Ὅτι τὸν αὐτὸν λέγουσιν εἶναι Πατέρα, καὶ Υἱὸν, καὶ Παράκλητον.

Ὅτι λέγουσι Μοντανὸν ἐσχηκέναι τὸ τέλειον τοῦ Παρακλήτου.

Ὅτι λέγουσιν· Ὑμεῖς, φησίν, οὐ πιστεύετε μετὰ τὴν ἐν κόσμῳ ἐπιδημίαν τοῦ Δεσπότου γεγενῆσθαι προφήτας. 984.

ΜΒ'.Περὶ παραινέσεως. 989.

---

* Ἐπιστολὴ περὶ ἀρχαίου θεολογικοῦ συγγράμματος ἀνεκδότου· λατινιστί. 993.
* Μετάφρασις ὑπὸ Ἱερωνύμου εἰς τὸ Β'. βιβλίον Διδύμου περὶ τοῦ ἁγίου Πνεύματος· λατινιστί. 1029.

Διδύμου κατὰ Μανιχαίων. 1085.
Τεμάχια ἐκ τῶν τοῦ Διδύμου ἀπολεσθέντων. 1109.
Τεμάχια ὑπομνημάτων εἰς τὴν Γένεσιν, εἰς τὴν Ἔξοδον, καὶ εἰς τὴν Β'. τῶν Βασιλειῶν. 1111.
Εἰς τὸν Ἰώβ. 1120.
Εἰς ψαλμοὺς, ἐξήγησις. 1156.
Ἕτερα τεμάχια ὑπομνημάτων εἰς τοὺς ψαλμούς. 1617.
Ἐκ τῶν Διδύμου εἰς Παροιμίας Σολομῶντος ἐξηγήσεων. Καὶ τί ἐστι παροιμία. 1621.
Τεμάχια ὑπομνημάτων εἰς τὸν Εὐαγγελιστὴν Ἰωάννην. 1645.
Τεμάχια ὑπομνημάτων εἰς τὰς Πράξεις τῶν Ἀποστόλων. 1653.
Εἰς τὴν Β'. πρὸς Κορινθίους. 1680.

* Κριτικαὶ ἐπιστασίαι εἰς τὰς ἑρμηνείας τῶν Καθολικῶν ἐπιστολῶν Διδύμου· λατινιστί. 1731.
* Ἐξήγησις εἰς τὰς Καθολικὰς ἐπιστολάς. Εἰς τὴν τοῦ Ἰακώβου, εἰς τὴν Α'. καὶ Β'. Πέτρου, καὶ εἰς τὰς Α'. Β'. καὶ Γ'. τοῦ Ἰωάννου· λατινιστὶ μετὰ τεμαχίων ἑλληνικῶν. 1747—1816.

ΝΕΚΤΑΡΙΟΣ

Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως (; † 398 Μ. Χ.)

* Σημειώσεις περὶ αὐτοῦ· λατινιστί. 1819.
Διήγησις δι' ἣν αἰτίαν τῷ πρώτῳ Σαββάτῳ τῶν νηστειῶν ἑορτάζομεν τὴν μνήμην τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου. Καὶ περὶ νηστείας καὶ ἐλεημοσύνης. 1821.

* Πίναξ ἀλφαβητικὸς ἑλληνικῶν λέξεων εἰς τὰ περὶ τῆς ἁγίας Τριάδος βιβλία τοῦ Διδύμου. 1839.
* Πίναξ ἀναλυτικὸς εἰς τὰ περὶ τῆς ἁγίας Τριάδος βιβλία· λατινιστί. 1853.
* Πίναξ τῶν περιεχομένων ἐν τῷ τριακοστῷ ἐννάτῳ τόμῳ· λατινιστί. 1859.

Τέλος τῶν ἐν τῷ τριακοστῷ ἐννάτῳ τόμῳ.

ΦΙΛΩΝ ΕΠΙΣΚΟΠΟΣ ΚΑΡΠΑΣΙΟΥ

(περὶ τὸ 400. Μ. Χ.)

ΤΟΜΟΣ 40

ΠΕΡΙΕΧΟΜΕΝΑ

* Προοίμιον περὶ Φίλωνος καὶ τῶν συγγραφῶν αὐτοῦ· λατινιστί. 9.
Φίλωνος ἐπισκόπου τοῦ Καρπασίου, σὺν Θεῷ, ἑρμηνεία εἰς τὰ Ἆσματα τῶν Ἀσμάτων. Πρὸς Εὐστάθιον πρεσβύτερον, καὶ Εὐσέβιον διάκονον. 27.

ΑΣΤΕΡΙΟΣ ΑΜΑΣΕΙΑΣ ΕΠΙΣΚΟΠΟΣ

(περὶ τὸ 400 Μ. Χ.)

* Σχόλια ἱστορικὰ καὶ γραμματικὰ περὶ αὐτοῦ· λατινιστί. 155.

ΣΥΓΓΡΑΜΜΑΤΑ

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀστερίου Ἀμασείας ὁμιλίαι. 163-477.

α'. Ἐκ τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου, εἰς τὸν πλούσιον καὶ εἰς τὸν Λάζαρον. 164.

β'. Εἰς τὸν οἰκονόμον τῆς ἀδικίας. 180.

γ'. Κατὰ πλεονεξίας. 193.

δ'. Λόγος κατηγορικὸς τῆς ἑορτῆς τῶν Καλανδῶν. 216.

ε'. Ἐκ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου εἰς τό: «Εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν». 225.

ς'. Λόγος εἰς τὸν προφήτην Δανιὴλ καὶ εἰς τὴν Σωσάνναν. 240.

ζ'. Εἰς τὸν ἐκ κοιλίας τυφλόν. 249.

η'. Ἐγκώμιον εἰς τοὺς ἁγίους κορυφαίους ἀποστόλους Πέτρον καὶ Παῦλον. 264.

θ'. Ἐγκώμιον εἰς τὸν ἅγιον ἱερομάρτυρα Φωκᾶν. 300.

ι'. Ἐγκώμιον εἰς τοὺς ἁγίους μάρτυρας. 313.

ια'. Εἰς μαρτύριον τῆς πανευφήμου μάρτυρος Εὐφημίας ἔκφρασις. 333.

ιβ'. Ἐγκώμιον εἰς τὸν ἅγιον πρωτομάρτυρα Στέφανον. 337.

ιγ'. Προτρεπτικὴ περὶ μετανοίας. 352.

ιδ'. Λόγος εἰς τὴν ἀρχὴν τῶν νηστειῶν. 369.

ιε'. Εἰς τὸν ε'. ψαλμόν· «Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε, σύνες τῆς κραυγῆς μου», καὶ τὰ ἑξῆς. Λόγος Α'. 389.

ις'. Εἰς τὸν αὐτὸν ε'. ψαλμόν. Λόγος Β'. 404.

ιζ'. Εἰς τὸν αὐτὸν ε'. ἄλλως. Λόγος Γ'. 417.

ιη'. Εἰς τὸν αὐτὸν ε'. ἄλλως. Λόγος Δ'. 428.

ιθ'. Εἰς τὴν ἑρμηνείαν τοῦ ε'. ψαλμοῦ, ἐν ᾧ καὶ εἰς τὸν Ἰωσὴφ, ἐλέχθη τῇ μεγάλῃ Δευτέρᾳ. Λόγος Ε'. 434.

κ'. Ὁμιλία εἰς τὸν ς', ψαλμόν. Λόγος ς'. 444.

κα'. Εἰς τὸν ζ'. ψαλμόν. Λόγος Ζ'. 460.

* Προσθήκη εἰς τὸν Ἀστέριον ἐκ τῶν Ἀμφιλοχείων Φωτίου, πόσοι Ἀστέριοι γεγόνασι, καὶ τίς ἡ δόξα αὐτῶν. 477.

ΝΕΜΕΣΙΟΣ ΕΠΙΣΚΟΠΟΣ ΕΜΕΣΗΣ

(περὶ τὸ 400. Μ. Χ.)

* Σημειώσεις ἱστορικαὶ περὶ Νεμεσίου· λατινιστί. 479.

* Προοίμιον εἰς τὸ περὶ φύσεως ἀνθρώπου Νεμεσίου· λατινιστί. 483.

* Προλεγόμενα εἰς τὸ περὶ φύσεως ἀνθρώπου Νεμεσίου· λατινιστὶ μετὰ καὶ ἑλληνικῶν χωρίων καὶ ἐπιστολῆς ἑλληνιστὶ Νικασίου Ἑλλεβοδίου Κασλετάνου. 487-502.

ΣΥΓΓΡΑΜΜΑΤΑ

Περὶ φύσεως ἀνθρώπου εἰς κεφάλαια μδ'. 504—816.

ΚΕΦΑΛΑΙΑ

α'. Εἰσαγωγὴ περὶ ψυχῆς καὶ σώματος. Πότερον προσελθὼν ὁ νοῦς τῇ ψυχῇ, ὡς ἄλλος ἄλλῃ, νοερὰν αὐτὴν ἐποίησεν, ἢ τὸ νοερὸν ἀφ' ἑαυτῆς ἡ ψυχὴ καὶ φύσει κέκτηται κτλ. 504.

β'. Περὶ ψυχῆς. 536.

γ'. Περὶ ἑνώσεως ψυχῆς καὶ σώματος. 592.

δ'. Περὶ σώματος. 608.

ε'. Περὶ στοιχείων. 612.

ς'. Περὶ τοῦ φανταστικοῦ. 632.

ζ'. Περὶ ὄψεως. 637.

η'. Περὶ ἀφῆς. 649.

θ'. Περὶ γεύσεως. 656.

ι'. Περὶ ἀκοῆς. 657.

ια'. Περὶ ὀσφρήσεως. 657.

ιβ'. Περὶ τοῦ διανοητικοῦ 660.

ιγ'. Περὶ τοῦ μνημονευτικοῦ. 660.
ιδ'. Περὶ τοῦ ἐνδιαθέτου λόγου καὶ τοῦ προφορικοῦ. 665.
ιε'. Ἑτέρα διαίρεσις τῆς ψυχῆς. 668.
ις'. Περὶ τοῦ ἀλόγου μέρους τῆς ψυχῆς, ὃ καὶ παθητικὸν καλεῖται. 672.
ιζ'. Περὶ τοῦ ἐπιθυμητικοῦ. 676.
ιη'. Περὶ ἡδονῶν. 677.
ιθ'. Περὶ λύπης. 688.
κ'. Περὶ φόβου. 688.
κα'. Περὶ θυμοῦ. 692.
κβ'. Περὶ τοῦ ἀλόγου τοῦ μὴ κατηκόου λόγῳ. 692
κγ'. Περὶ τοῦ θρεπτικοῦ. 693.
κδ'. Περὶ σφυγμῶν. 697.
κε'. Περὶ τοῦ γεννητικοῦ ἢ σπερματικοῦ. 700.
κς'. Ἄλλη διαίρεσις τῶν διοικουσῶν δυνάμεων τὸ ζῶον. 704.
κζ'. Περὶ τῆς καθ' ὁρμὴν ἢ κατὰ προαίρεσιν κινήσεως, ἥτις ἐστὶ τοῦ ὀρεκτικοῦ. 705.
κη'. Περὶ ἀναπνοῆς. 708.
κθ'. Περὶ ἑκουσίου καὶ ἀκουσίου. 717.
λ'. Περὶ ἀκουσίου. 720.
λα'. Περὶ τοῦ δι' ἄγνοιαν ἀκουσίου. 724.
λβ'. Περὶ τοῦ ἑκουσίου. 728.
λγ'. Περὶ προαιρέσεως. 729.
λδ'. Περὶ τίνων βουλευόμεθα. 736.
λε'. Περὶ εἱμαρμένης. 741.
λς'. Περὶ τῆς διὰ τῶν ἄστρων εἱμαρμένης. 745.
λζ'. Περὶ τῶν λεγόντων αἵρεσιν τῶν πρακτέων ἐφ' ἡμῖν εἶναι, τὴν δὲ τῶν αἱρεθέντων ἀπόβασιν ἐπὶ τῇ εἱμαρμένῃ. 749.
λη'. Περὶ τοῦ πῶς λέγει Πλάτων τὴν εἱμαρμένην. 753.
λθ'. Περὶ τοῦ αὐτεξουσίου, ὅ ἐστι τοῦ ἐφ' ἡμῖν. 761.
μ'. Περὶ τοῦ, ὅτι ἔστιν ἐφ' ἡμῖν τινα. 765.
μα'. Διὰ ποίαν αἰτίαν αὐτεξούσιοι γεγόναμεν. 773.
μβ'. Περὶ προνοίας. 780.
μγ'. Τί ἐστι πρόνοια. 792.
μδ'. Περὶ τοῦ τίνων ἐστὶ πρόνοια. 793.

---

* Συμπλήρωσις διαφόρων ἀναγνώσεων. 817.
* Σημειώσεις εἰς τὸν Νεμέσιον· ἑλληνολατινιστί. 819.
* Πίναξ ὀνομάτων συγγραφέων, ὧν ὁ Νεμέσιος ἐν τῷ περὶ φύσεως συγγράμματι αὐτοῦ ἐμνημόνευσε μετ' ἐπαίνου· λατινιστί. 841.

ΙΕΡΩΝΥΜΟΣ

Ἕλλην θεολόγος (περὶ τὸ 400. Μ. Χ.)

* Σημειώσεις ἱστορικαὶ περὶ αὐτοῦ· λατ. 845.
Τοῦ μακαρίου Ἱερωνύμου Διάλογος περὶ τῆς ἁγίας Τριάδος, ἐρώτησις Ἰουδαίου πρὸς τὸν Χριστιανόν. 848.
Τοῦ αὐτοῦ μακαρίου Ἱερωνύμου φιλοπονία παντὶ χριστιανῷ ὠφελοῦσα· κατ' ἐρώτησιν καὶ ἀπόκρισιν. 860.
Ἐρώτησις, διὰ τί προσκυνοῦμεν τὸν σταυρόν. 865.

ΠΑΤΕΡΕΣ ΑΙΓΥΠΤΙΟΙ ΤΟΥ Δ'. ΑΙΩΝΟΣ

(345—400. Μ. Χ.)

ΩΡΣΙΣΙΟΣ

(; † 345. Μ. Χ.)

* Σημειώσεις περὶ αὐτοῦ· λατινιστί. 867.
Διδασκαλία περὶ Μοναχῶν· λατινιστί. 869.

ΣΕΡΑΠΙΩΝ

ἐπίσκοπος Θμούεως (; † 347 Μ. Χ.)

* Σημειώσεις περὶ αὐτοῦ· λατινιστί. 895.
Τοῦ ἁγίου Σεραπίωνος βιβλίον κατὰ Μανιχαίων. 900.
Ἐπιστολὴ πρὸς Εὐδόξιον ἐπίσκοπον. 924.
Ἐπιστολὴ πρὸς Μονάζοντας. 925.

ΠΑΧΩΜΙΟΣ

(; † 348 Μ. Χ.)

* Σημειώσεις περὶ αὐτοῦ· λατινιστί. 941.
Ἐκ τῶν ἐντολῶν τοῦ Παχωμίου Ν'. τὸν ἀριθμόν. 948.

ΑΓΙΟΣ ΑΝΤΩΝΙΟΣ Ο ΜΕΓΑΣ

(; † 356 Μ. Χ.)

* Σημειώσεις περὶ αὐτοῦ· λατινιστί. 953.
* Βίος τοῦ ἁγίου Ἀντωνίου· λατινιστί. 957.
Τοῦ ἁγίου Ἀντωνίου λόγος περὶ ματαιότητος κόσμου καὶ ἀναστάσεως νεκρῶν· λατ. 961.

Λόγοι κ'. πρὸς τοὺς κατὰ πνεῦμα αὐτοῦ υἱοὺς, τοὺς Μοναχούς· λατινιστί. 963.
Ἐπιστολαὶ αὐτοῦ ζ'. λατινιστί. 977.
Ἐπιστολαὶ αὐτοῦ κ'. λατινιστί. 999.
Τεμάχιον τῆς πρὸς Ἀμμώνιον ἐπιστολῆς. 1065.
Κανόνες καὶ διαταγαὶ πρὸς Μοναχούς· λατινιστί. 1065.
Πνευματικαὶ διδασκαλίαι πρὸς Μοναχούς· λατινιστί. 1073—1102.

ΘΕΟΔΩΡΟΣ ΑΒΒΑΣ

(; † 367 Μ. Χ.)

Τὰ συγγράμματα αὐτοῦ εὕρηνται ἐν τῇ λατινικῇ Πατρολογίᾳ τόμ. 23 καὶ 103. 1102.

ΗΣΑΙΑΣ ΑΒΒΑΣ

(; † 372 Μ. Χ.)

* Σημειώσεις περὶ αὐτοῦ· λατινιστί. 1103.
Λόγοι τοῦ μακαρίου Ἡσαΐου κθ'. λατ. 1105.
Περὶ ἀσκήσεως καὶ ἡσυχίας. 1205.

ΕΥΑΓΡΙΟΣ ΠΟΝΤΙΚΟΣ

(; † 399 Μ. Χ.)

* Σημειώσεις ἱστορικαὶ καὶ γραμματικαὶ περὶ αὐτοῦ· λατινιστί. 1213.
Εὐαγρίου τοῦ ἐν Σκήτῃ κεφάλαια πρακτικὰ πρὸς Ἀνατόλιον. 1220.
Λόγος πρακτικὸς εἰς κεφ. ρ'. 1244.
Τῶν κατὰ μοναχῶν πραγμάτων τὰ αἴτια, καὶ ἡ καθ' ἡσυχίαν τούτων παράθεσις. 1252.
Ὁρισμοὶ διάφοροι εἰς κεφάλαια λγ'. κατ' ἀκολουθίαν. 1264.
Πνευματικαὶ γνῶμαι κατὰ ἀλφάβητον. 1268.
Ἕτεραι γνῶμαι. 1269.
Περὶ τῶν ὀκτὼ λογισμῶν πρὸς Ἀνατόλιον. 1272.
Γνῶμαι αὐτοῦ· λατινιστί. 1277.
Τεμάχιον ἐκ τῶν τοῦ Εὐαγρίου περὶ τῶν τεσσάρων ἀρετῶν, καὶ τῶν θεωριῶν αὐτῶν. 1285.
Περὶ τῶν δύο μακαρίων, Αἰγυπτίου καὶ Ἀλεξανδρέως, περὶ Μάρκου Ἐρημίτου, καὶ Ἰωάννου Λυκοπόλεως, ἴδε Πατρολογίας τόμ. 34.
* Πίναξ τῶν περιεχομένων ἐν τῷ τεσσαρακοστῷ τόμῳ· λατινιστί 1289.

Τέλος τῶν ἐν τῷ τεσσαρακοστῷ τόμῳ.

ΑΙΩΝ Ε΄.

ΕΠΙΦΑΝΙΟΣ ΚΥΠΡΟΥ

(310 — 404. Μ. Χ.)

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΕΠΙΦΑΝΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΑΣ ΤΗΣ ΚΥΠΡΟΥ ΤΑ ΕΥΡΙΣΚΟΜΕΝΑ ΠΑΝΤΑ (α)

ΤΟΜΟΣ 41

ΠΕΡΙΕΧΟΜΕΝΑ

* Σημειώσεις περὶ τοῦ ἁγίου Ἐπιφανίου· λατιστί. I—XIV.
* Ἐπιστολὴ Διονυσίου Παταβίου περὶ Ἐπιφανίου· λατινιστί. 9.
* Προοίμιον· λατινιστί. 15.
* Ἐκλογαὶ παλαιῶν περὶ τοῦ ἁγίου Ἐπιφανίου. 19.
* Βίος τοῦ ἁγίου Ἐπιφανίου ἐπισκόπου πόλεως Κωνσταντίας τῆς Κύπρου. 24.
* Πολυβίου ἐπισκόπου πόλεως Ῥινοκορούρων εἰς τὰ ὑπόλοιπα τοῦ βίου τοῦ ἁγίου πατρὸς ἡμῶν Ἐπιφανίου ἐπισκόπου πόλεως Κωνσταντίας. 73.
* Περὶ τῶν πράξεων τοῦ ἁγίου Ἐπιφανίου· λατινιστί. 116.
* Διονυσίου Παταβίου προθεωρία εἰς τὸ κατὰ αἱρέσεων τοῦ ἁγίου Ἐπιφανίου· λατ. 151.
* Ἀκακίου καὶ Παύλου πρεσβυτέρων ἐπιστολὴ πρὸς Ἐπιφάνιον περὶ αἱρέσεων. 156.

ΣΥΓΓΡΑΜΜΑΤΑ

Ἐπιφανίου πρὸς τοὺς περὶ Ἀκάκιον καὶ Παῦλον πρεσβυτέρους πρὸς τὰ ὑπ' αὐτῶν αὐτῷ γραφέντα περὶ τοῦ κατὰ αἱρέσεων γράψαι αὐτόν. 157.
Ἐπιφανίου Κύπρου κατὰ αἱρέσεων ὀγδοήκοντα τὸ ἐπικληθὲν Πανάριος εἴτ' οὖν Κιβώτιος· εἰς βιβλία τρία. 173—1200.
Προοίμιον περὶ αἱρέσεων. 173.

ΒΙΒΛΙΟΝ Α΄.

Τμῆμα α΄.

ΠΕΡΙΛΗΨΙΣ ΕΚΑΣΤΗΣ ΤΩΝ Π΄. ΑΙΡΕΣΕΩΝ

Α΄.—Βαρβαρισμὸς—ἥτις καθ' ἑαυτήν ἐςι, διαρκέσασα ἀφ' ἡμερῶν τοῦ Ἀδὰμ ἐπὶ δέκα γενεὰς ἕως τοῦ Νῶε. Βαρβαρισμὸς δὲ κέκληται ἀπὸ τοῦ μὴ τοὺς τότε ἀνθρώπους ἀρχηγόν τινα ἔχειν, ἢ μίαν συμφωνίαν, ἀλλ' ὅτι πᾶς τις ἑαυτῷ ἐστοίχει, καὶ νόμος ἑαυτῷ κατὰ τὴν προτίμησιν τοῦ ἰδίου βουλήματος ἐγίνετο. 185.
Β΄.—Σκυθισμὸς—ἀπὸ τῶν ἡμερῶν τοῦ Νῶε καὶ μετέπειτα ἄχρι τῆς τοῦ πύργου οἰκοδομῆς, καὶ Βαβυλῶνος, καὶ μετὰ τὸν τοῦ πύργου χρόνον ἐπὶ ὀλίγοις ἔτεσι, τουτέστι Φαλὲκ καὶ Ῥαγαοῦ, οἵτινες ἐπὶ τὸ τῆς Εὐρώπης κλίμα νενευκότες τῷ τῆς Σκυθίας μέρει, καὶ τοῖς αὐτῶν ἔθνεσι προσεκρίθησαν, ἀπὸ τῆς τοῦ Θήρας ἡλικίας καὶ ἐπέκεινα, ἐξ οὗπερ οἱ Θρᾶκες γεγόνασι. 189.

(α) Εἰς τόμους τρεῖς (41—43).

Γ'.—Ἑλληνισμὸς—ἀπὸ τῶν χρόνων τοῦ Σερούχ διά τοι τῆς εἰδωλολατρείας, καὶ ὡς ἐστοίχουν τὸ τηνικαῦτα ἕκαστος κατά τινα δεισιδαιμονίαν ἐπὶ τὸ πολιτικώτερον, καὶ ἐπὶ ἤθη καὶ θεσμούς. Ἐθεοποίουν δὲ δι' εἰδώλων ἀπεικονίζοντες τοὺς πάλαι παρ' αὐτοῖς τετιμημένους, ἢ τυράννους, ἢ γόητας, ἢ τινάς τι δράσαντας ἐν τῷ βίῳ, μνήμης τι δοκοῦν ἄξιον. 189.

Δ'.—Ἰουδαϊσμὸς—τὴν ἀρχὴν λαμβάνει ἀπὸ τοῦ Ἀβραὰμ χρηματισθέντος ὑπὸ Θεοῦ εἰς περιτομήν. Ἄρχεται δὲ μετὰ τὸν Ἑλληνισμὸν, τριακοστῆς πρώτης γενεᾶς ἀπὸ τῆς τοῦ κόσμου κατασκευῆς, ἔτη δὲ τρισχίλια τριακόσια τριάκοντα ἕν. Ἀπὸ δὲ τοῦ Ἀβραὰμ οὔπω ἦν ἐπώνυμον αἱρέσεως, οἱ γὰρ ἀπόγονοι αὐτοῦ κατ' εὐσέβειαν διῆγον. 193.

ΑΙΡΕΣΕΙΣ ΑΠΟ ΤΟΥ ΕΛΛΗΝΙΣΜΟΥ

Ε'.—Στωϊκοὶ — Γ'. αἵρεσις ἀπὸ Ἑλληνισμοῦ. — Σῶμα τὸ πᾶν δογματίζοντες καὶ τὸν αἰσθητὸν τοῦτον κόσμον θεὸν νομίζοντες. Καὶ τὸν μὲν Θεὸν νοῦν ὁρίζουσι, καὶ ὡς ψυχὴν παντὸς τοῦ ὄντος κύτους, οὐρανοῦ καὶ γῆς· σῶμα δὲ αὐτοῦ τὸ πᾶν, καὶ ὀφθαλμοὺς τοὺς φωστῆρας. Τὴν δὲ σάρκα πάντων ἀπόλλυσθαι, καὶ τὴν ψυχὴν πάντων μεταγγίζεσθαι ἀπὸ σώματος εἰς σῶμα. Ἔσχον δὲ Ζήνωνα ἀρχηγὸν τὸν Κιτιέα. 201.

Ϛ'.—Πλατωνικοὶ — Δ'. αἵρεσις ἀπὸ Ἑλληνισμοῦ. Ἀπὸ τοῦ Πλάτωνος φάσκοντος εἶναι τρεῖς δυνάμεις Θεὸν, εἶδος καὶ ὕλην· τὸν δὲ κόσμον γεννητὸν καὶ φθαρτὸν, καὶ τὴν ψυχὴν ἀγέννητον, ἀθάνατον καὶ θείαν· εἶναι δὲ αὐτῆς τρία μέρη, λογικὸν, θυμικὸν, ἐπιθυμητικόν. Τὰς γυναῖκας κοινὰς γίνεσθαι τοῖς πᾶσι. Μεταγγισμὸν δὲ ψυχῶν εἰς σώματα διάφορα ἄχρι κνωδάλων. 204.

Ζ'.—Πυθαγόρειοι — Ε'. αἵρεσις ἀπὸ Ἑλληνισμοῦ. Πυθαγόρας ἐδογμάτισεν ἐμψύχων τε μὴ μεταλαμβάνειν, ἀπὸ οἴνου δὲ ἐγκρατεύεσθαι. Διώριζε δὲ ἅμα τὰ ἀπὸ σελήνης, καὶ τὰ ἄνω ἀθάνατα εἶναι λέγων, τὰ δὲ ὑποκάτω θνητὰ, μεταγγισμούς τε ψυχῶν ἀπὸ σωμάτων εἰς σώματα καὶ σιωπὴν ἀσκεῖν ἐπὶ χρόνον πέντε ἐτῶν ἐδίδασκε. Τὸ τελευταῖον δὲ ἑαυτὸν Θεὸν ὠνόμασεν. 205.

Η'.—Ἐπικούρειοι — Ϛ'. αἵρεσις ἀπὸ Ἑλληνισμοῦ. Ἄτομα καὶ ἀμερῆ σώματα, ὁμοιομερῆ τε καὶ ἄπειρα τὴν ἀρχὴν εἶναι τῶν πάντων ὑπεστήσαντο, καὶ τέλος εἶναι εὐδαιμονίας τὴν ἡδονὴν ἐδογμάτισαν, καὶ μήτε Θεὸν, μήτε Πρόνοιαν τὰ πάντα διοικεῖν. 205.

Προοίμιον περὶ Ἰουδαϊσμοῦ καὶ Σαμαρειτισμοῦ. 208.

Θ'.—Σαμαρειτισμὸς— Ζ'. αἵρεσις ἀπὸ τοῦ Ἑλληνισμοῦ. Μέτοικοι ὄντες ἀπὸ Ἀσσυρίων εἰς τὴν Ἰουδαίαν, τὰ πάντα Ἰουδαῖοι ἦσαν· μόνην ἐδέχοντο τὴν Πεντάτευχον, ἠρνοῦντο νεκρῶν ἀνάστασιν καὶ τὰς ἄλλας προφητείας τὰς μετὰ Μωϋσέα· ἐβδελύττοντο δὲ τὰ ἔθνη καὶ τὸ προσψαύειν νεκρῶν. 224.

ΑΙΡΕΣΕΙΣ ΑΠΟ ΤΟΥ ΣΑΜΑΡΕΙΤΙΣΜΟΥ.

Ι'.— Ἐσσηνοὶ — Α'. αἵρεσις ἀπὸ Σαμαρειτῶν. Εἰς τέσσαρας αἱρέσεις Σαμαρεῖται ἐτμήθησαν Ἐσσηνοὺς, Σεβουαίους, Γορθηνοὺς καὶ Δοσιθέους. Ἴσα δε πᾶσαι ἀλλήλαις ἐφρόνουν τὰ ἄλλα, Ἐσσηνοὶ δὲ τούτῳ διέφερον, ὅτι συνεώρταζον τοῖς Ἰουδαίοις ἐν ἑνὶ καιρῷ τὸ ἄθροισμα ἔχοντες. 232.

ΙΑ'.— Σεβουαῖοι — Β'. αἵρεσις ἀπὸ Σαμαρειτῶν. Ἀντιφερόμενοι τῷ Ἔσδρα καὶ τοῖς Ἐσσηνοῖς τοὺς καιροὺς τῶν ἑορτῶν μετέθηκαν. Τάττουσι δὲ τὸν νέον μῆνα τῶν Ἀζύμων μετὰ τὸ νέον ἔτος, τὴν σκηνοπηγίαν, ὅτε παρὰ τοῖς Ἰουδαίοις τὰ Ἄζυμα καὶ τὸ Πάσχα. 233.

ΙΒ'.— Γορθηνοὶ — Γ'. αἵρεσις ἀπὸ Σαμαρειτῶν. Διὰ τὴν αὐτὴν αἰτίαν τὰς ἑορτὰς ἐν ἄλλοις καιροῖς ἄγουσι παρὰ τοὺς Ἑβραίους. 236

ΙΓ'.— Δοσίθεοι — Δ'. αἵρεσις ἀπὸ Σαμαρειτῶν. Τοῖς αὐτοῖς ἔθεσιν, οἷα δὴ Σαμαρεῖται, ἐμπολιτευόμενοι, περισσότερον δὲ τῶν ἄλλων φυλάττοντες τὸ ἀπέχεσθαι ἐμψύχων καὶ νηστείαις συνεχέστατα βιοῦν, ἔχουσι δὲ παρθενίαν τινὲς

αὐτῶν, ἐγκρατεύονται δὲ ἄλλοι, πιστεύουσί τε νεκρῶν ἀνάστασιν. 237.

ΑΙΡΕΣΕΙΣ ΑΠΟ ΤΟΥ ΙΟΥΔΑΙΣΜΟΥ

ΙΔ'.— Σαδδουκαῖοι — Α'. αἵρεσις ἀπὸ Ἰουδαϊσμοῦ. Ἑρμηνευόμενοι δικαιότατοι ἐκ γένους ἦσαν Σαμαρειτῶν ὁμοῦ καὶ ἱερέως Σαδοὺκ, ἠρνοῦντο νεκρῶν ἀνάστασιν, μὴ παραδεχόμενοι, μήτε ἄγγελον, μήτε πνεῦμα· τὰ δὲ πάντα ὄντες Ἰουδαῖοι. 240.

ΙΕ'.— Γραμματεῖς—Β'. αἵρεσις ἀπὸ τοῦ Ἰουδαϊσμοῦ. Νομικοὶ μὲν ἦσαν, καὶ δευτερωταὶ παραδόσεων τῶν παρ' αὐτοῖς πρεσβυτέρων, τῇ περισσοτέρᾳ ἐθελοθρησκείᾳ ἔθη φυλάττοντες, ἃ οὐ διὰ τοῦ νόμου μεμαθήκασιν, ἀλλ' ἑαυτοῖς ἐτύπωσαν σεβάσματα δικαιώματος νομοθεσίας. 241.

ΙϚ'.— Φαρισαῖοι — Γ'. αἵρεσις ἀπὸ Ἰουδαϊσμοῦ. Ἑρμηνευόμενοι ἀφωρισμένοι, οἱ τὸ ἀκρότατον βιοῦντες, καὶ δῆθεν τῶν ἄλλων δοκιμώτεροι· παρ' οἷς καὶ νεκρῶν ἀνάστασιν, ὡς καὶ παρὰ τοῖς Γραμματεῦσι, καὶ ἡ περὶ ἀγγέλων καὶ Πνεύματος ἁγίου, ὅτι ἔστι, συγκατάθεσις, πολιτεία τε διάφορος, ἐγκράτεια ἕως χρόνου, καὶ παρθενία, νηστεία δὲ δὶς τοῦ Σαββάτου, ξεστῶν καθαρισμοὶ, ἀποδεκατώσεις, καὶ ἀπαρχίαι, καὶ ἐνδελεχεῖς εὐχαί· παρεισέφερον δὲ γένεσιν καὶ εἱμαρμένην. 248.

ΙΖ'.— Ἡμεροβαπτισταὶ — Δ'. αἵρεσις ἀπὸ τοῦ Ἰουδαϊσμοῦ. Οὗτοι κατὰ πάντα μὲν Ἰουδαῖοι ἦσαν, ἔφασκον δὲ μηδένα ζωῆς αἰωνίου τυγχάνειν εἰ μή τι ἂν καθ' ἑκάστην βαπτίζοιτο. 256.

ΙΗ'.— Ναζαραῖοι — Ε'. αἵρεσις ἀπὸ Ἰουδαϊσμοῦ. Ἑρμηνευόμενοι ἀφανισταὶ, πᾶσαν σαρκοφαγίαν ἀπαγόρευουσιν· ἐμψύχων οὐδόλως μεταλαμβάνουσιν· ἄχρι δὲ Μωϋσέως καὶ Ἰησοῦ τοῦ Ναυῆ τοῖς ἐν τῇ Πεντατεύχῳ ἁγίοις ὀνόμασι Πατριαρχῶν κεχρημένοι τε καὶ πιστεύοντες. Τὰς δὲ τῆς Πεντατεύχου γραφὰς οὐκ εἶναι Μωϋσέως δογματίζουσιν, ἄλλας δὲ παρ' αὐτὰς ἔχειν διαβεβαιοῦνται. 257.

ΙΘ'.— Ὀσσηνοὶ—Ϛ'. αἵρεσις ἀπὸ Ἰουδαϊσμοῦ. Ἰταμώτατοι ἑρμηνεύονται. Ἦσαν δὲ οὗτοι τὰ πάντα κατὰ νόμον τελοῦντες· ἐχρῶντο Γραφαῖς ἑτέραις μετὰ τὸν νόμον· τοὺς δὲ πλείους τῶν μετέπειτα προφητῶν ἀπεβάλλοντο. 260.

Κ'.— Ἡρωδιανοὶ — Ζ'. αἵρεσις ἀπὸ Ἰουδαϊσμοῦ. Ἰουδαῖοι ἦσαν κατὰ πάντα, Ἡρώδην δὲ Χριστὸν προσεδόκων, καὶ τούτῳ τὸ τοῦ Χριστοῦ ἀπεδίδοσαν γέρας καὶ ὄνομα. 269.

Ἐνδημία Χριστοῦ, καὶ ἔνσαρκος παρουσία, καὶ ἀλήθεια. Ἡ μία καὶ μόνη οὖσα τοῦ Θεοῦ πίστις. 273.

Περὶ Ναζωραίων, ἤτοι Χριστιανῶν. 280.

ΒΙΒΛΙΟΝ Α'.

Τμῆμα ϛ'.

ΑΙΡΕΣΕΙΣ ΜΕΤΑ ΧΡΙΣΤΟΝ

ΚΑ'.— Σιμωνιανοὶ — Α'. αἵρεσις ἀπὸ τῆς εἰς Χριστὸν τὸν Κύριον ἡμῶν πίστεως. Ἀπὸ Σίμωνος τοῦ Μάγου τοῦ ἐπὶ Πέτρου τοῦ ἀποστόλου, κώμης Γιτθῶν τῆς Σαμαρείας. Οὗτος ἀπὸ Σαμαρειτῶν ὡρμᾶτο Χριστοῦ δὲ ὑπέδυ ὄνομα μόνον. Ἐδίδαξε δὲ αἰσχροποιΐαν, μίξιν μολυσμοῦ, γυναικῶν ἀδιαφορίαν. Σωμάτων δὲ ἀποβάλλεται τὴν ἀνάστασιν, καὶ τὸν κόσμον μὴ εἶναι Θεοῦ φάσκει. Εἰκόνα δὲ αὐτοῦ ὡς Διὸς, καὶ τῆς σὺν αὐτῷ πόρνης ὀνόματι Ἑλένης, Ἀθηνᾶς τύπον τοῖς ἑαυτοῦ μαθηταῖς παρεδίδου εἰς προσκύνησιν. Ἔλεγε δὲ ἑαυτὸν Σαμαρείταις μὲν τὸν Πατέρα Ἰουδαίοις δὲ τὸν Χριστόν. 285.

ΚΒ'.— Μενανδριανοὶ — Β'. αἵρεσις ἀπὸ τῆς τοῦ Κυρίου παρουσίας. Οἱ ἀπὸ Σίμωνος τοῦ Μάγου διὰ Μενάνδρου τινὸς ἐναρξάμενοι διαφερόμενοί τε πρὸς τοὺς Σιμωνιανοὺς κατά τι· ὃς ἀπὸ ἀγγέλων ἔλεγε τὸν κόσμον γεγενῆσθαι. 290.

ΚΓ'.— Σατορνιλιανοὶ — Γ'. αἵρεσις ἀπὸ τῆς Χριστοῦ παρουσίας. Κατὰ τὴν Συρίαν τὴν τῶν Σιμωνιανῶν κρατύνοντες αἰσ-

χρολογίαν, ἕτερα δὲ παρὰ τοὺς Σιμωνιανοὺς εἰς ἔκπληξιν περισσοτέραν κηρύσσοντες, ἀπὸ Σατορνίλου τὴν ἀρχὴν, ἐσχηκότες, ὃς, καὶ αὐτὸς κατὰ Μένανδρον ὑπ' ἀγγέλων τὸν κόσμον γεγενῆσθαι ἔφασκε, μόνων δὲ ἑπτὰ διὰ τὴν τοῦ ἄνω Πατρὸς γνώμην. 297.

ΚΔ'.— Βασιλειδιανοὶ — Δ'. αἵρεσις ἀπὸ Χριστοῦ. Ἀπὸ Βασιλείδου τοῦ ἅμα Σατορνίλῳ τοῖς Σιμωνιανοῖς καὶ Μενανδριανοῖς μεμαθητευμένοι, τὰ ὅμοια μὲν φρονοῦντος κατά τι δὲ διαφερομένου. Λέγει δὲ τριακοσίους ἑξήκοντα πέντε οὐρανοὺς εἶναι, καὶ τούτοις ὀνόματα ἀγγελικὰ ἐκτίθησι. Διὸ καὶ τὸν ἐνιαυτὸν τοσούτων ἡμερῶν εἶναι, καὶ τὸ Ἀβρασὰξ ὄνομα δυνάμεως, ὃ φέρει ψῆφον τξε'. καὶ εἶναί φησι τοῦτο ἅγιον Πνεῦμα ὄνομα. 308.

ΚΕ'.— Νικολαΐται — Ε'. αἵρεσις ἀπὸ Χριστοῦ. Ἀπὸ Νικολάου τοῦ ἐπὶ ταῖς χήραις ὑπὸ τῶν Ἀποστόλων ταχθέντος, ὃς διὰ ζῆλον τῆς ἰδίας γαμετῆς τὴν αἰσχρουργίαν ἐπιτελεῖν ἅμα τοῖς ἄλλοις τοῖς ἑαυτοῦ μαθηταῖς ἐδίδαξε· καὶ περὶ τοῦ Καυλακὰχ καὶ Προινίκου καὶ ἄλλων βαρβαρικῶν ὀνομάτων, ἃ τῷ κόσμῳ μυσαρῶς εἰσηγήσατο. 320.

ΚΣ'.— Γνωστικοὶ — Σ'. αἵρεσις ἀπὸ Χριστοῦ. Τὰς αὐτὰς αἱρέσεις διαδεξάμενοι πλέον πάντων δὲ αὐτῶν τὴν αἰσχρότητα ἐμμανῶς εἰργάζοντο. Ἐκαλοῦντο δὲ ἐν Αἰγύπτῳ Στρατιωτικοὶ, καὶ Φιβιωνῖται, ἐν δὲ τοῖς ἀνωτερικοῖς μέρεσι καὶ Σεκουνδιανοὶ, ἐν ἄλλοις δὲ μέρεσι Σωκρατῖται, παρὰ δὲ ἑτέροις Ζακχαῖοι. Ἄλλοι δὲ Κοδδανοὺς αὐτοὺς λέγουσι· ἄλλοι δὲ Βορβορίτας αὐτοὺς καλοῦσι οὗτοι τὴν Βαρβελὼ καὶ Βαρβερὼ αὐχοῦσι. 329.

ΚΖ'.— Καρποκρατιανοὶ—Ζ'. αἵρεσις ἀπὸ Χριστοῦ. Ἀπὸ Καρποκράτους τινὸς, ὃς ἐδίδασκε πᾶσαν αἰσχρουργίαν ἐκτελεῖν, καὶ πᾶν ἐπιτήδευμα ἁμαρτίας. Καὶ εἰ μή τις, φησὶ, διὰ πάντων παρέλθοι, καὶ τὸ θέλημα πάντων τῶν ἀγγέλων καὶ δαιμόνων ἐκτελέσῃ οὐ δύναται ὑπερβῆναι εἰς τὸν ἀνώτατον οὐρανὸν, οὐδὲ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας παρελθεῖν. Ἔλεγε δὲ τὸν Ἰησοῦν ψυχὴν νοερὰν εἰληφέναι, εἰδότα δὲ τὰ ἄνω ἐνταῦθα καταγγέλλειν· καὶ ὡς εἴ τι πράξειεν ὅμοια τῷ Ἰησοῦ κατ' αὐτὸν εἶναι. Τόν τε νόμον σὺν τῇ τῶν νεκρῶν ἀναστάσει ἀπηγόρευεν, ὡς αἱ ἀπὸ Σίμωνος καὶ δεῦρο αἱρέσεις· τούτῳ γέγονεν ἡ ἐν Ῥώμῃ Μαρκελίνα. Εἰκόνας δὲ ποιήσας ἐν κρυφῇ Ἰησοῦ, καὶ Παύλου, καὶ Ὁμήρου, καὶ Πυθαγόρου, ταύταις ἐθυμία καὶ προσεκύνει. 364.

ΚΗ'.—Κηρινθιανοὶ οἱ καὶ Μηρινθιανοί. — Η'. ἀπὸ Χριττοῦ. Οὗτοι ἀπὸ Κηρίνθου καὶ Μηρίνθου Ἰουδαῖοί τινες τὴν περιτομὴν αὐχοῦντες· τὸν δὲ κόσμον ὑπὸ ἀγγέλων γεγενῆσθαι λέγοντες, Ἰησοῦν δὲ κατὰ προκοπὴν Χριστὸν κεκλῆσθαι. 377.

ΚΘ'.— Ναζωραῖοι. — Θ'. ἀπὸ Χριστοῦ Χριστὸν ὁμολογοῦσιν Ἰησοῦν Υἱὸν Θεοῦ πάντα δὲ κατὰ νόμον πολιτευόμενοι. 388.

Λ'. — Ἐβιωναῖοι. — Ι'. ἀπὸ Χριστοῦ. Οἱ παραπλήσιοι τῶν προειρημένων Κηρινθιανῶν καὶ Ναζωραίων· οἷς συνήφθη κατά τι ἡ τῶν Σαμψαίων τε καὶ τῶν Ἐλκεσαίων αἵρεσις. Χριστόν φασιν κεκτῆσθαι ἐν τῷ οὐρανῷ, καὶ τὸ ἅγιον αὐτοῦ Πνεῦμα. Ἐνδημήσαντα δὲ τὸν Χριστὸν ἐν τῷ Ἀδὰμ πρῶτον, καὶ κατὰ καιρὸν ἐκδυόμενον αὐτὸν τὸν Ἀδὰμ, καὶ πάλιν ἐνδυόμενον, τὸ αὐτὸ τοῦτό φασιν ἐκτετελεκέναι αὐτὸν ἐν τῇ ἐνσάρκῳ αὐτοῦ παρουσίᾳ. Ἰουδαῖοι δὲ ὄντες Εὐαγγελίοις κέχρηνται. Σαρκοφαγίαν βδελύττονται. Τὸ ὕδωρ ἀντὶ Θεοῦ ἔχουσι. Συνεχῶς δὲ βαπτίζονται ἐν τοῖς ὕδασι θέρους τε καὶ χειμῶνος, εἰς ἁγνισμὸν δῆθεν, ὥσπερ οἱ Σαμαρεῖται. 405.

ΛΑ'.— Οὐαλεντῖνοι οἱ καὶ Γνωστικοί.—ΙΑ'. αἵρεσις ἀπὸ Χριστοῦ. Σαρκὸς μὲν ἀπαγορεύουσιν ἀνάστασιν, Παλαιὰν Διαθήκην ἀθετοῦσι καὶ προφήτας, ἀναγινώσκοντες μὲν καὶ ὅσα εἰς ὁμοίωσιν δύναται τροπολογεῖσθαι τῆς αὐτῶν αἱρέσεως, καὶ δεχόμενοι· ἑτέρας δέ τινας μυθολογίας παρεισφέροντες, τριάκοντα αἰώνων ὀνομασίας λέγοντες ἀῤῥενοθηλειῶν, ὁμοῦ τε ἐκ τοῦ Πατρὸς

τῶν ὅλων γεγενημένους, οὓς καὶ θεοὺς ἡγοῦνται καὶ αἰῶνας. Τὸν δὲ Χριστὸν ἀπ' οὐρανοῦ σῶμα ἐνηνοχέναι, καὶ ὡς διὰ σωλῆνος τὴν Μαρίαν διαπερακέναι. 473.

ΛΒ'.— Σεκουνδιανοί. — ΙΒ'. ἀπὸ Χριστοῦ. — Τούτοις συνήφθη Ἐπιφάνης καὶ Ἰσίδωρος, ταῖς αὐταῖς κεχρημένοι καὶ οὗτοι συζυγίαις, τὰ ὅμοια Οὐαλεντίνῳ φρονηκότες, ἕτερα δὲ παρ' αὐτοὺς διηγούμενοι. Προστιθέασι δὲ τὴν αἰσχρουργίαν διδάσκοντες. Ἀπαγορεύουσι δὲ καὶ οὗτοι τὴν σάρκωσιν. 544.

ΛΓ'.— Πτολεμαῖοι. — ΙΓ'. ἀπὸ Χριστοῦ. — Μαθηταὶ καὶ οὗτοι ὄντες Οὐαλεντίνου, οἷς συνάπτεται ἡ Φλώρα· τὰ αὐτὰ δὲ περὶ τῶν συζυγιῶν καὶ αὐτοὶ λέγουσι, καθάπερ Οὐαλεντῖνος καὶ Σεκουνδιανοί. Κατά τι δὲ καὶ οὗτοι διαφέρονται. 556.

ΒΙΒΛΙΟΝ Α'.

Τμῆμα γ'.

ΛΔ'.— Μαρκώσιοι. — ΙΔ'. ἀπὸ Χριστοῦ. — Μάρκος τις γεγένηται Κολορβάσου συμφοιτητής, δύο ἀρχὰς καὶ αὐτὸς παρεισάγων. Ἀθετεῖ δὲ νεκρῶν ἀνάστασιν. Φαντασίας δέ τινας δι' ἐκπωμάτων ἐξ ἐπαοιδῆς εἰς κυάνεον χρῶμα καὶ πορφύρεον μεταβαλὼν, ἐμυσταγώγει τὰς ἀπατωμένας γυναῖκας· καὶ αὐτὸς δὲ τῶν εἰκοσιτεσσάρων στοιχείων βούλεται τὰ πάντα ἡγεῖσθαι ὁμοίως Οὐαλεντίνῳ. 581.

ΛΕ'.— Κολορβάσιοι. — ΙΕ'. ἀπὸ Χριστοῦ. — Καὶ οὗτος ὁ Κολόρβασος ὡσαύτως τὰ αὐτὰ διηγούμενος, κατά τι δὲ διαφερόμενος πρὸς τὰς ἄλλας αἱρέσεις, φημὶ δὲ πρὸς τὰς περὶ Μάρκον καὶ Οὐαλεντῖνον τὰς προβολὰς καὶ ὀγδοάδας ἑτέρως ἐδίδαξε. 628.

ΛϚ'.— Ἡρακλεωνῖται. — ΙϚ'. ἀπὸ Χριστοῦ. —Καὶ οὗτοι τῇ τῶν ὀγδοάδων φέρονται μυθολογίᾳ· ἑτέρως δὲ παρὰ τὸν Μάρκον, καὶ Πτολεμαῖον, καὶ Οὐαλεντῖνον καὶ τοὺς ἄλλους. Ἀλλὰ καὶ πρὸς τῇ τελευτῇ τοὺς παρ' αὐτοῖς τελευτῶντας ὁμοίως τῷ Μάρκῳ λυτροῦνται δι' ἐλαίου, ὀποβαλσάμου καὶ ὕδατος ἐπικλήσεις τινὰς ἑβραϊκαῖς λέξεσιν ἐπιλέγοντες ἐπὶ τῇ κεφαλῇ τοῦ δῆθεν λυτρουμένου. 633.

ΛΖ'.— Ὀφῖται.—ΙΖ'. ἀπὸ Χριστοῦ.—Τὸν ὄφιν δοξάζουσι καὶ τοῦτον Χριστὸν ἡγοῦνται· ἔχουσι δὲ τὸ ἑρπετὸν ἐν κίστῃ τινί. 641.

ΛΗ'.— Καϊανοί. — ΙΗ'. ἀπὸ Χριστοῦ. — Τὸν νόμον καὶ τὸν λαλήσαντα ἐν νόμῳ ἀθετοῦντες, σαρκός τε ἀνάστασιν ἀρνούμενοι, τὸν Κάϊν δοξάζουσι λέγοντες αὐτὸν τῆς ἰσχυροτέρας εἶναι δυνάμεως. Ἅμα δὲ καὶ τὸν Ἰούδαν ἐκθειάζουσιν, ὁμοῦ τε καὶ τοὺς περὶ Κορὲ καὶ Δαθὰν καὶ Ἀβειρὼμ, ἀλλὰ καὶ τοὺς Σοδομίτας. 655.

ΛΘ'.— Σηθιανοί. — ΙΘ'. ἀπὸ Χριστοῦ. — Οὗτοι πάλιν τὸν Σὴθ δοξάζουσι, φάσκοντες αὐτὸν εἶναι ἐκ τῆς ἄνω Μητρὸς μεταμεληθείσης, ἐφ' ἧς τοὺς περὶ τὸν Κάϊν προεβάλετο· εἶτα μετὰ τὸν Κάϊν ἀποβληθῆναι, καὶ τὸν Ἄβελ ἀποκτανθῆναι, συνελθούσης τῷ ἄνω Πατρὶ, καὶ καθαρὸν σπέρμα τὸν Σὴθ ποιησάσης· ἐξ οὗπερ λοιπὸν κατήχθη τὸ πάντων ἀνθρώπων γένος. Καὶ αὐτοὶ δὲ ἀρχὰς, καὶ ἐξουσίας, καὶ ὅσα οἱ ἄλλοι δογματίζουσιν, ἐδογμάτισαν. 665.

Μ'. — Ἀρχοντικοί.—Κ'. ἀπὸ Χριστοῦ. Οὗτοι πάλιν εἰς πολλοὺς ἄρχοντας τὸ πᾶν ἀναφέρουσι καὶ τὰ γενόμενα ἐκ τούτων γεγενῆσθαι λέγουσιν. Ἁλίσκονται δὲ καὶ ἐπὶ αἰσχρότητί τινι. Σαρκὸς δὲ ἀνάστασιν ἀθετοῦσι, καὶ Παλαιὰν Διαθήκην διαβάλλουσι. Κέχρηνται δὲ καὶ Παλαιᾷ καὶ Νέᾳ Διαθήκῃ, ἑκάστην λέξιν εἰς τὸν ἑαυτῶν νοῦν μεθοδεύοντες. 677.

ΜΑ'.— Κερδωνιανοί. — ΚΑ'. ἀπὸ Χριστοῦ.— Ἀπὸ Κέρδωνος τοῦ δεξαμένου τὴν πλάνην ἀπὸ Ἡρακλείου καὶ προσθέντος τῇ ἀπάτῃ. Ὃς, ἀπὸ τῆς Συρίας εἰς Ῥώμην μεταναστὰς, τὸ κήρυγμα αὐτοῦ ἐξέθετο ἐν χρόνοις Ὑγίνου ἐπισκόπου. Δύο δὲ ἀρχὰς κυρύττει οὗτος ἐναντίας ἀλλήλαις. Μὴ εἶναι δὲ τὸν Χριστὸν γεννητόν. Ὁμοίως τε νεκρῶν ἀνάστα-

σιν ἀθετεῖ καὶ τὰ κατὰ τὴν Παλαιὰν Διαθήκην. 692.

ΜΒ'.— Μαρκιωνισταί. — ΚΒ'. ἀπὸ Χριστοῦ.— Μαρκίων ὁ ἀπὸ Πόντου ὁρμώμενος ἐπισκόπου μὲν ἦν υἱός· φθείρας δὲ παρθένον ἀπέδρα, διὰ τὸ ἐξεῶσθαι ὑπὸ τοῦ ἰδίου Πατρὸς ἀπὸ τῆς Ἐκκλησίας. Ἀνελθών τε εἰς Ῥώμην, καὶ αἰτήσας μετάνοιαν τοὺς κατ' ἐκεῖνο καιροῦ, καὶ μὴ τυχὼν, ἐπαρθεὶς κατὰ τῆς πίστεως, ἐδογμάτισε τρεῖς ἀρχὰς εἰσηγησάμενος, ἀγαθόν τε καὶ δίκαιον καὶ φαῦλον· εἶναί τε Καινὴν Διαθήκην ἀλλοτρίαν τῆς Παλαιᾶς καὶ τοῦ ἐν αὐτῇ λαλήσαντος. Ἀνάστασιν σαρκὸς ἀθετεῖ. Βάπτισμα δίδωσιν οὐ μόνον ἓν, ἀλλὰ καὶ τρία μετὰ τὸ παραπεσεῖν. Ὑπὲρ δὲ τῶν τεθνεώτων κατηχουμένων ἄλλοι παρ' αὐτοῖς βαπτίζονται. Ἀδεῶς δὲ καὶ γυναιξὶν ἐπιτρέπει δῆθεν λουτρὸν διδόναι. 696.

ΜΓ'.— Λουκιανισταί. — ΚΓ'. ἀπὸ Χριστοῦ. — Λουκιανός τις ἀρχαῖος, οὐχ ὁ ἐν χρόνοις Κωνσταντίνου γενόμενος, πάντα κατὰ Μαρκίωνα ἐδογμάτισε. Πρὸς δὲ τούτοις καὶ ἕτερά τινα παρὰ τὸν Μαρκίωνα, καὶ αὐτὸς δῆθεν περισσοτέρως δογματίζει. 817.

ΜΔ'.— Ἀπελληϊανοί. — ΚΔ'. ἀπὸ Χριστοῦ. — Ἀπὸ Ἀπελλοῦ ὁμοίως Μαρκίωνι καὶ Λουκιανῷ κακίζοντος τὴν πᾶσαν ποίησιν καὶ τὸν πεποιηκότα. Οὐχ ὁμοίως δὲ τούτοις τρεῖς ἀρχὰς εἰσηγήσατο, ἀλλὰ μίαν μὲν ἀρχὴν, καὶ ἕνα Θεὸν ὄντα ἀνώτατον καὶ ἀκατονόμαστον· αὐτὸν δὲ τὸν ἕνα πεποιηκέναι ἄλλον. Καὶ οὗτος ὁ γεγονὼς, πονηρὸς εὑρεθεὶς, ἐποίησεν ἐν τῇ αὐτοῦ φαυλότητι τὸν κόσμον. 821.

ΜΕ'.— Σευηριανοί. — ΚΕ'. ἀπὸ Χριστοῦ. — Σευῆρος πάλιν τις τῷ Ἀπελλῇ συνεπόμενος, τὸν οἶνον ἀποβάλλεται καὶ τὴν ἄμπελον, ἔκ τε τοῦ δρακοντοειδοῦς Σατανᾶ καὶ Γῆς μυθολογῶν πεφυκέναι, συνελθόντων ἀλλήλοις. Τήν τε γυναῖκα παραιτεῖται, φάσκων ἀριστερᾶς δυνάμεως αὐτὴν ὑπάρχειν. Ὀνομασίας τέ τινας ἀρχόντων, καὶ βίβλους τινὰς ἀποκρύφους παρεισάγει. Τὰ ὅμοια δὲ ταῖς ἄλλαις τὴν σαρκὸς ἀνάστασιν ἀθετεῖ, καὶ Παλαιὰν Διαθήκην. 832.

ΜΣ'.— Τατιανοί. — ΚΣ'. ἀπὸ Χριστοῦ. — Οὗτος συνήκμασεν Ἰουστίνῳ τῷ μάρτυρι, τῷ ἁγίῳ καὶ φιλοσόφῳ. Μετὰ δὲ τὴν τοῦ μάρτυρος Ἰουστίνου τελευτὴν, τοῦ καὶ φιλοσόφου, προσεφθάρη τοῖς τοῦ Μαρκίωνος δόγμασι, μαθητευθεὶς τῷ αὐτῷ, τά τε ἴσα αὐτῷ ἐδογμάτισε, καὶ ἕτερα προσθεὶς παρ' ἐκεῖνον. Ἐλέγετο δὲ ἀπὸ Μεσοποταμίας ὁρμᾶσθαι. 836.

ΒΙΒΛΙΟΝ Β'.

Τμῆμα Α'.

ΜΖ'.— Ἐγκρατῖται.—ΚΖ'. Ἀπὸ Χριστοῦ. — Ἀπόσπασμα τυγχάνουσι Τατιανοῦ· τὸν γάμον ἀποβάλλουσι, τοῦ Σατανᾶ φάσκοντες τοῦτον εἶναι. Πᾶσαν δὲ ἀπαγορεύουσιν ἐμψυχοφαγίαν. 849.

ΜΗ'.— Φρυγασταὶ καὶ Μοντανισταὶ καὶ Τασκοδρουγῖται. — ΚΗ'. Ἀπὸ Χριστοῦ. — Παλαιὰν καὶ Νέαν Διαθήκην δέχονται, ἑτέρους δὲ προφήτας παρεισφέρουσι μετὰ τοὺς προφήτας, Μοντανόν τινα αὐχοῦντες καὶ Πρίσκιλλαν, καὶ Μαξιμίλλαν. 856.

ΜΘ'.— Πεπουζιανοί, οἱ καὶ Κυϊντιλλιανοί, οἷς συνέπονται Ἀρτοτυρῖται. — ΚΘ'. αἵρεσις ἀπὸ Χριστοῦ. — Ἐκ τούτων μέν εἰσι τῶν κατὰ Φρύγας, ἕτερα δὲ παρ' ἐκείνους δογματίζουσι. Πέπουζάν τινα πόλιν ἔρημον ἀνὰ μέσον Γαλατίας καὶ Καππαδοκίας ἐκθειάζοντες, καὶ δὴ ταύτην Ἱερουσαλὴμ ἡγούμενοι· γυναιξὶ δὲ ἀποδιδόντες τὸ ἄρχειν καὶ ἱερατεύειν. Μυοῦνται δὲ, τινὰ παῖδα κατακεντοῦντες νέον. Καὶ δὴ τῇ Κυϊντίλλῃ Χριστὸν ἐκεῖσε ἐν Πεπούζῃ ἀποκεκαλύφθαι ἐν ἰδέᾳ θηλείας μυθοποιοῦνται. Κέχρηνται δὲ ὡσαύτως Παλαιᾷ καὶ Καινῇ Διαθήκῃ, κατὰ τὸν νοῦν τὸν ἴδιον μεταποιούμενοι. 880.

Ν'.— Τεσσαρεσκαιδεκατῖται. — Α'. αἵρεσις ἀπὸ Χριστοῦ.— Μίαν ἡμέραν τοῦ ἔτους τὸ Πάσχα ἐκτελοῦσιν. Ἐν ὁποίᾳ δ' ἡμέρᾳ ἐμπέσῃ ἡ τῆς σελήνης τεσσαρεσκαι-

δεκάτῃ, ἤτοι ἐν Σαββάτῳ, ἤτοι ἐν Κυριακῇ, ἐκείνην τε νηστεύοντες καὶ ἀγρυπνοῦντες ἑορτάζουσιν. 881.

ΝΑ'.— Ἄλογοι ἢ καὶ Ἀνόητοι. — ΛΑ'. ἀπὸ Χριστοῦ.—Οὐκ ἐδέχοντο τὰ κατὰ Ἰωάννην Εὐαγγέλιον, οὔτε τὴν αὐτοῦ ἀποκάλυψιν καὶ τὸν ἐν αὐτῷ ἄνωθεν ἀπὸ Πατρὸς ἀεὶ Θεὸν Λόγον προεξέβαλλον. 888.

ΝΒ'.— Ἀδαμιανοί. — ΛΒ'. ἀπὸ Χριστοῦ. — Ἀπό τινος Ἀδὰμ ζῶντος καλούμενοι, χλεύης ἢ ἀληθείας μᾶλλον τὸ ὄνομα ἔχοντες. Γυμνοὶ γὰρ, ὡς ἐκ μητρὸς, ἄνδρες τε καὶ γυναῖκες ἐπὶ τὸ αὐτὸ συνάγονται, καὶ οὕτως τὰς ἀναγνώσεις, καὶ εὐχὰς, καὶ πανοτιοῦν ἐπιτελοῦσι· δῆθεν μονάζοντες καὶ ἐγκρατευόμενοι ὄντες, καὶ γάμον μὴ δεχόμενοι, οἱ τὴν ἑαυτῶν Ἐκκλησίαν παράδεισον ἡγούμενοι. 953.

ΝΓ'.— Σαμψαῖοι, οἱ καὶ Ἐλκεσαῖοι. — ΛΓ'. ἀπὸ Χριστοῦ. — Τὴν Ἀραβίαν ᾤκουν καθύπερθεν τῆς Νεκρᾶς θαλάσσης κειμένην χώραν· οἵτινες ἀπὸ τοῦ Ἠλξά τινος ψευδοπροφήτου ἠπατημένοι· οὗ ἐκ τοῦ γένους ὡρμᾶτο Μαρθοῦς καὶ Μαρθίνη, γυναῖκες δύο, προσκυνούμεναι ὑπὸ τῆς αἱρέσεως, ὡς θεαί· παραπλησίως τῶν Ἐβιωναίων τὰ πάντα ἔχοντες. 960.

ΝΔ'.— Θεοδοτιανοί. — ΛΔ'. ἀπὸ Χριστοῦ.— Ἀπὸ Θεοδότου τοῦ Σκυτέως τοῦ ἀπὸ Βυζαντίου. Οὗτος ἐν παιδείᾳ ἑλληνικῇ ἐγένετο ἄκρος. Ἅμα δὲ ἄλλοις τισὶν ἐν ἡμέραις τοῦ τότε γενομένου διωγμοῦ μόνος ἐκπεσὼν, ἐκείνων μαρτυρησάντων, διὰ τὸ ὀνειδίζεσθαι, ἐπινοήσας ψιλὸν ἄνθρωπον λέγειν τὸν Χριστὸν, ἵνα μὴ ὑπὸ ἔγκλημα γένηται Θεὸν ἀρνησάμενος, οὕτως ἐδίδαξεν. 961.

ΝΕ'.— Μελχεσιδεκιανοί.—ΛΕ'. ἀπὸ Χριστοῦ. Οἱ τὸν Μελχισεδὲκ γεραίροντες, τινὰ δύναμιν αὐτὸν φάσκοντες, καὶ μὴ ἄνθρωπον ψιλὸν, καὶ εἰς τὸ τούτου ὄνομα πάντα ἀνάγειν καὶ λέγειν τετολμηκότες. 972.

ΝΣ'.— Βαρδησιανισταὶ—ΛΣ'. ἀπὸ Χριστοῦ.— Βαρδησιανὸς οὗτος ἐκ τῆς Μεσοποταμίας ὡρμᾶτο, τὰ πρῶτα μὲν τῆς ἀληθινῆς πίστεως ὑπάρχων, καὶ ἐν σοφίᾳ διαπρέπων· ἐκκλίνας δὲ τῆς ἀληθείας, παραπλησίως Οὐαλεντίνῳ ἐδογμάτισε, χωρὶς ἐνίων ὀλίγων, ὧν διαφέρεται πρὸς Οὐαλεντῖνον. 989.

ΝΖ'.— Νοητιανοί—ΛΖ'. ἀπὸ Χριστοῦ.—Νοητὸς οὗτος ἀπὸ Σμύρνης ὑπῆρχε τῆς Ἀσίας. Ἐν ἅρματι δὲ ἐνεχθεὶς σὺν ἄλλοις τισὶν, Υἱοπάτορα τὸν Χριστὸν ἐδίδαξε, τὸν αὐτὸν εἶναι Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα. Ἑαυτὸν δὲ ἔλεγε Μωϋσέα, καὶ τὸν αὐτοῦ ἀδελφὸν ἔλεγεν εἶναι τὸν Ἀαρών. 993.

ΝΗ'.— Οὐαλήσιοι—ΛΗ'. ἀπὸ Χριστοῦ. — Οὗτοι, καθὼς ὑπειλήφαμεν, τὴν Βάκαθον κατοικοῦντες, μητροκωμίαν Ἀραβίας τῆς Φιλαδελφείας, τοὺς παρατυγχάνοντας ἀπέτεμνον. Πλείους δὲ αὐτῶν ὑπάρχουσιν εὐνοῦχοι ἀποτετμημένοι. Τινὰ δὲ ἕτερα διδάσκουσιν αἱρέσεως ἔμπλεα, ἀφανίζοντες τὸν νόμον καὶ τοὺς προφήτας, καί τινας αἰσχρουργίας ἑτέρας παρεισφέροντες. 1009.

ΝΘ'.— Καθαροὶ—ΛΘ'. ἀπὸ Χριστοῦ.— Συναφθέντες ἅμα Ναβάτῳ τῷ Ῥωμαίῳ, τοὺς διγάμους παντελῶς ἀπεβάλλοντο, καὶ μετάνοιαν οὐκ ἐδέχοντο. 1017.

Ξ'. — Ἀγγελικοὶ—Μ'. ἀπὸ Χριστοῦ. — Αὐχοῦντες ἦσαν ἀγγελικὴν ἔχειν τάξιν· ἢ διὰ τὸ τοὺς ἀγγέλους προσκεκλῆσθαι. 1037.

ΞΑ'.— Ἀποστολικοὶ—ΜΑ'. ἀπὸ Χριστοῦ. — Οἱ καὶ Ἀποτακτικοὶ καὶ αὐτοὶ, οἱ περὶ τὴν Πισιδίαν μόνον, ἀποτακτικοὺς δεχόμενοι καθ' ἑαυτούς. Παραπλησιάζουσι δὲ τοῖς Ἐγκρατίταις· ἄλλα δὲ παρ' αὐτοὺς φρονοῦσιν. 1040.

ΞΒ'.— Σαβελλιανοὶ— ΜΒ'. ἀπὸ Χριστοῦ. — Τὰ ὅμοια Νοητιανοῖς ἐδόξαζον· παρὰ τὸν Νοητὸν Πατέρα πεπονθέναι λέγοντες, προφορικὸν πάλιν ἀναχεόμενον τὸν Λόγον. 1052.

ΞΓ'.— Ὠριγενιανοὶ— ΜΓ'. ἀπὸ Χριστοῦ. — Ἀπό τινος Ὠριγένους κληθέντες, αἰσχροποιοὶ ἦσαν, ἀῤῥητοποιοῦντες, καὶ τὰ ἑαυτῶν σώματα φθορᾷ παραδιδόντες. 1061.

ΞΔ'.— Ὠριγενιανοὶ ἄλλοι.—ΜΔ'.ἀπὸ Χριστοῦ.

— Ἀπὸ Ὠριγένους τοῦ καὶ Ἀδαμαντίου, τὴν τῶν νεκρῶν ἀνάστασιν ἀπεβάλλοντο. Χριστὸν δὲ κτίσμα, καὶ τὸ ἅγιον Πνεῦμα εἰσηγούμενοι, παράδεισόν τε καὶ οὐρανοὺς, καὶ τὰ ἄλλα πάντα ἀλληγοροῦντες· Χριστοῦ δὲ τὴν βασιλείαν πεπαῦσθαι ληροῦντες, καὶ ὁμοῦ τοὺς ἀγγέλους παυθήσεσθαι. Χριστὸν δὲ σὺν διαβόλῳ βασιλευθησομένῳ. 1068.

---

* Πίναξ τῶν περιεχομένων ἐν τῷ τεσσαρακοστῷ πρώτῳ τόμῳ· λατινιστί. 1199.

Τέλος τῶν ἐν τῷ τεσσαρακοστῷ πρώτῳ τόμῳ.

ΤΟΜΟΣ 42

ΠΕΡΙΕΧΟΜΕΝΑ

(Συνέχεια τῶν αἱρέσεων).

ΒΙΒΛΙΟΝ Β'.

Τμῆμα 6'.

ΞΕ'.— Παύλου τοῦ Σαμοσατέως. — ΜΕ'. ἀπὸ Χριστοῦ αἵρεσις. Οὗτος ἀνύπαρκτον τὸν Χριστὸν ὀλίγου δεῖν διεβεβαιοῦτο, λόγον προφορικὸν ὄντα σχηματίσας. Ἀπὸ δὲ Μαρίας καὶ δεῦρο εἶναι προαγγελτικῶς τε περὶ αὐτοῦ ἐν ταῖς θείαις Γραφαῖς εἰρημένα ἔχοντος· μὴ ὄντος δὲ, ἀλλὰ ἀπὸ Μαρίας καὶ δεῦρο ἀπὸ τῆς ἐνσάρκου παρουσίας. 12.

ΞϛΊ.— Μανιχαῖοι, οἱ καὶ Ἀκουανῖται — ΜϛΊ. ἀπὸ Χριστοῦ. Ἀπὸ τοῦ Μάνη μαθηταὶ τοῦ Πέρσου. Χριστὸν σχήματι λέγοντες, ἥλιον σέβοντες καὶ σελήνην. Ἄστροις τε καὶ δυνάμεσι καὶ δαίμοσιν εὐχόμενοι, ἀρχὰς δύο εἰσάγοντες, πονηράν τε καὶ ἀγαθὴν, ἀεὶ οὔσας. Χριστὸν δὲ δοκήσει πεφηνέναι, καὶ δοκήσει πεπονθέναι. Παλαιὰν Διαθήκην βλασφημοῦντες, καὶ τὸν ἐν αὐτῇ λαλήσαντα Θεόν. Κόσμον δὲ οὐ τὸν πάντα, ἀλλὰ μέρος ἐκ Θεοῦ γεγενῆσθαι ὁριζόμενοι. 29.

ΞΖ'.— Ἱερακῖται—ΜΖ'. ἀπὸ Χριστοῦ.— Ἀπὸ Ἱέρακος τοῦ Λεοντοπολίτου τῆς Αἰγύπτου, ἐξηγητοῦ τινος σαρκὸς ἀνάστασιν ἀθετοῦντος. Χρώμενοι Παλαιᾷ καὶ Νέᾳ Διαθήκῃ, καὶ ἀπαγορεύοντες γάμον παντελῶς, μονάζοντας τε καὶ παρθένους δεχόμενοι, καὶ ἐγκρατευομένους καὶ χήρους. Τὰ δὲ μηδέπω ἐν ἡλικίᾳ γεγονότα παιδία βασιλείας μὴ μετέχειν, διὰ τὸ μὴ ἠθληκέναι. 172.

ΞΗ'.— Μελητιανοὶ—ΜΗ'. ἀπὸ Χριστοῦ. —Ἐν Αἰγύπτῳ σχίσμα ὄντες, ἀλλ' οὐχ αἵρεσις, μὴ συνευξάμενοι τοῖς ἐν τῷ διωγμῷ παραπεπτωκόσι· Ἀρειανοῖς δὲ ὕστερον συνήφθησαν. 184.

ΞΘ'.— Ἀρειανοὶ, οἱ καὶ Ἀρειομανῖται.—ΜΘ'. ἀπὸ Χριστοῦ. Οἱ τὸν Υἱὸν τοῦ Θεοῦ κτίσμα λέγοντες, καὶ τὸ Πνεῦμα τὸ ἅγιον κτίσμα κτίσματος, σάρκα μόνον τὸν Σωτῆρα ἀπὸ Μαρίας εἰληφέναι διαβεβαιούμενοι, καὶ οὐχὶ ψυχήν. Ἦν δὲ οὗτος ὁ Ἄρειος πρεσβύτερος Ἀλεξάνδρου ἐπισκόπου Ἀλεξανδρείας. 201.

ΒΙΒΛΙΟΝ Γ'.

Τμῆμα α'.

Ο'. — Αὐδιανοὶ—Ν'. ἀπὸ Χριστοῦ. — Σχίσμα οὐ μέν τοι αἵρεσις ἦσαν. Οὗτοι μὲν διαγωγὴν καὶ βίον εὖ τεταγμένον ἐκέκτηντο· κατὰ πάντα δὲ τὸν τρόπον τὴν πίστιν εἶχον, ὡς ἡ καθολικὴ Ἐκκλησία. Μοναστήρια δὲ οἱ πλείους κατῴκουν. Ἐκέχρηντο δὲ καὶ ἀποκρύφοις πολλοῖς κατακόρως. Οὐ συνηύχοντο δέ ἡμῖν, ψέγοντες τοὺς παρ' ἡμῖν ἐπισκόπους, πλουσίους, καὶ ἄλλους· ἀλλὰ καὶ διὰ τὸ Πάσχα ποιεῖν ἰδιαζόντως, ὅτε οἱ Ἰουδαῖοι ποιοῦσιν. Εἶχον δὲ καὶ ἰδιωτικόν τι καὶ φιλόνεικον, ξηρότατα

τὸ: «κατ' εἰκόνα» ἑρμηνεύοντες. 340.

ΟΑ'.— Φωτεινιανοὶ — ΝΑ'. ἀπὸ Χριστοῦ. — Οὗτος ὁ Φωτεινὸς, ἀπὸ Σιρμίου ὑπάρχων, ἔτι καὶ δεῦρο περιενόστει. Ὃς τὰ αὐτὰ Παύλῳ τῷ Σαμοσατεῖ ἐφρόνησε. Κατά τι δὲ πρὸς ἐκεῖνον διαφέρονται. Καὶ αὐτοὶ ἀπὸ Μαρίας καὶ δεῦρο τὸν Χριστὸν διαβεβαιοῦνται. 373.

ΟΒ'.— Μαρκελλιανοί.—ΝΒ'. ἀπὸ Χριστοῦ. Ἀπὸ Μαρκέλλου τοῦ ἀπὸ Ἀγκύρας τῆς Γαλατίας. Οὗτος, ἐν ἀρχῇ παραπλησίως Σαβελλίῳ φρονήσας, διεφημίσθη. Εἰς ἀπολογίας δὲ πολλάκις ἐλθὼν, καὶ ἐγγράφως ἀπολογησάμενος, παρὰ πολλῶν τοῖς αὐτοῖς ἐμμένειν κατηγορήθη. Ἴσως δὲ μεταγνοὺς τάχα ἑαυτὸν διωρθώσατο, ἢ οἱ αὐτοῦ μαθηταί. Ὑπὲρ αὐτοῦ γὰρ ἢ ὑπὲρ τῶν αὐτοῦ μαθητῶν ὀρθόδοξοί τινες μέσως ὑπεραπελογοῦντο. 381.

ΟΓ'.— Ἡμιάρειοι—ΝΓ'. ἀπὸ Χριστοῦ. — Οἱ Χριστὸν μὲν κτίσμα ὁμολογοῦντες, εἰρωνείᾳ δὲ κτίσμα αὐτὸν φάσκοντες, ἀλλ' οὐχ ὡς ἓν τῶν κτισμάτων· ἀλλὰ, φασὶν, Υἱὸν λέγομεν· διὰ δὲ τὸ μὴ πάθος προσάψαι τῷ Πατρὶ διὰ τοῦ γεγεννηκέναι, κτιστὸν αὐτὸν λέγομεν. Ὡσαύτως καὶ περὶ τοῦ Πνεύματος τοῦ ἁγίου, κτίσμα παντελῶς ὁρίζονται, παρεκβάλλοντες Υἱοῦ τὸ ὁμοούσιον, ὁμοιοούσιον δὲ θέλουσι λέγειν. Ἄλλοι δὲ ἐξ αὐτῶν καὶ τὸ ὁμοιοούσιον παρεξέβαλον. 400.

ΟΔ'.— Πνευματομάχοι—ΝΔ'. ἀπὸ Χριστοῦ.— Οὗτοι περὶ μὲν Χριστοῦ καλῶς ἔχουσι, τὸ Πνεῦμα τὸ ἅγιον βλασφημοῦσι, κτιστὸν αὐτὸ ὁριζόμενοι, καὶ οὐκ ὂν ἐκ τῆς θεότητος, μᾶλλον δὲ καταχρηστικῶς διὰ ἐνέργειαν κεκτίσθαι, ἁγιαστικὴν αὐτὸ δύναμιν φάσκοντες εἶναι μόνον. 473.

ΟΕ'.— Ἀεριανοὶ—ΝΕ'. ἀπὸ Χριστοῦ. — Οὗτος Ἀέριος ἀπὸ Πόντου ὁρμᾶται. Ἔτι δὲ δεῦρο περίεστι πειρασμὸς τῷ βίῳ. Πρεσβύτερος οὗτος ἦν τοῦ ἐπισκόπου τοῦ Εὐσταθίου ἐν Ἀρειανοῖς διαβληθέντος· καὶ ἐπειδὴ αὐτὸς Ἀέριος οὐ κατεστάθη ἐπίσκοπος, πολλὰ κατὰ τῆς Ἐκκλησίας ἐδογμάτισε, τῇ μὲν πίστει ὢν Ἀρειανὸς τελειότατος, περιττότερον δὲ δογματίζει. Μὴ δεῖν φησι προσφέρειν ὑπὲρ τῶν προκεκοιμημένων. Νηστεύειν δὲ τετράδα καὶ προσάββατον καὶ Τεσσαρακοστὴν καὶ Πάσχα κωλύει· ἀποταξίαν κηρύσσει. Σαρκοφαγίαις δὲ παντοίαις κέχρηται καὶ τρυφαῖς ἀδεῶς. Εἰ δέ τις τῶν αὐτοῦ βούλοιτο νηστεύειν, μὴ ἐν ἡμέραις τεταγμέναις φησὶν, ἀλλ' ὅτε βούλεται. Οὐ γὰρ εἶ ὑπὸ νόμον. Φάσκει δὲ μηδὲ εἶναι διαφορώτερον ἐπίσκοπον πρεσβυτέρου. 504.

ΟΣ'.— Ἀνόμοιοι οἱ καὶ Ἀετιανοί.—ΝΣ'. ἀπὸ Χριστοῦ. — Ἀπὸ Ἀετίου τοῦ Κίλικος, διακόνου γενομένου ὑπὸ Γεωργίου τοῦ τῶν Ἀρειανῶν ἐπισκόπου τῆς Ἀλεξανδρείας, οἱ καὶ Ἀνόμοιοι καλούμενοι, παρὰ δέ τισι καὶ Εὐνομιανοὶ δι' Εὐνόμιόν τινα μαθητὴν Ἀετίου. Παντάπασι δὲ Χριστὸν καὶ τὸ ἅγιον Πνεῦμα ἀπαλλοτριοῦσι Θεοῦ, κτιστὸν αὐτὸν διαβεβαιούμενοι, καὶ οὐδὲ ὁμοιότητά τινα ἔχειν λέγουσιν. Ἐκ συλλογισμῶν γὰρ καὶ Ἀριστοτελικῶν καὶ γεωμετρικῶν τὸν Θεὸν παριστᾷν βούλονται, καὶ Χριστὸν δῆθεν μὴ δύνασθαι εἶναι ἐκ Θεοῦ διὰ τοιούτων. Οἱ δὲ ἀπ' αὐτοῦ Εὐνομιανοὶ καλούμενοι ἀναβαπτίζουσι πάντας τοὺς πρὸς αὐτοὺς ἐρχομένους, οὐ μόνον ὀρθοδόξους, ἀλλὰ καὶ τοὺς ἀπὸ Ἀρειανῶν, κατὰ κεφαλῆς ἄνω τοὺς πόδας στρέφοντες τῶν βαπτιζομένων, ὡς πολὺς ᾄδεται λόγος. Τὸ δὲ σφαλῆναι ἔν τινι πορνείᾳ ἢ ἑτέρᾳ ἁμαρτίᾳ οὐδὲν εἶναί φασιν· οὐδὲν γὰρ ζητεῖ Θεὸς, ἀλλὰ τὸ εἶναι ἐν ταύτῃ μόνῃ τῇ αὐτῶν νομιζομένῃ πίστει. 516.

ΒΙΒΛΙΟΝ Γ'.

Τμῆμα ϛ'.

ΟΖ'.— Διμοιρῖται—ΝΖ'. ἀπὸ Χριστοῦ. —Οὐχ ὡμολόγουν τελείαν τὴν ἐνανθρώπησιν Χριστοῦ· τινὲς τούτων ὁμοούσιον τὸ σῶμα τῇ θεότητί ποτε ἐτόλμησαν λέγειν· τινὲς δέ ποτε ψυχὴν εἰληφέναι αὐτὸν ἠρνοῦντο, τινὲς δὲ διὰ τοῦ λόγου τοῦ,

«Ὁ Λόγος σὰρξ ἐγένετο», ἐπερειδόμενοι ἠρνοῦντο τὸ ἀπὸ κτιστῆς σαρκὸς, τουτέστι Μαρίας τὸ κατὰ σάρκα αὐτὸν εἰληφέναι· μόνον δὲ φιλονείκως ἔλεγον τὸν Λόγον σάρκα γεγενῆσθαι· εἰς ὕστερον δὲ οὐκ οἶδα τί διενοοῦντο εἰληφέναι. 641.

ΟΗ'.— Ἀντιδικομαριανῖται— ΝΗ'. ἀπὸ Χριστοῦ.—Οἱ τὴν ἁγίαν Μαρίαν τὴν Ἀειπάρθενον, μετὰ τὸ τὸν Σωτῆρα γεγεννηκέναι, τῷ Ἰωσὴφ συνῆφθαι λέγοντες. 700.

ΟΘ'.— Κολλυριδιανοὶ—ΝΘ'. ἀπὸ Χριστοῦ.—Οἱ εἰς τὸ ὄνομα τῆς αὐτῆς Μαρίας ἐν ἡμέρᾳ τινὶ τοῦ ἔτους ἀποτεταγμένῃ κολλυρίδα τινὰ προσφέροντες, οἷς ἐπεθέμεθα ὄνομα Κολλυριδιανῶν. 740.

Π'. — Μασσαλιανοὶ—Ξ'. ἀπὸ Χριστοῦ.—Ἑρμηνεύονται εὐχόμενοι. Συνάπτονται δὲ τούτοις καὶ τῶν ἀπὸ Ἑλλήνων ἐπιτετηδευμένων αἱρέσεων οἱ λεγόμενοι Εὐφημῖται, καὶ Μαρτυριανοὶ, καὶ Σατανιανοί. 756.

Τοῦ ἁγίου Ἐπιφανίου σύντομος ἀληθὴς Λόγος περὶ πίστεως καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας. 773.

Ἀφήγησις τῶν δοξασιῶν τῶν παλαιῶν φιλοσόφων. 778.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἐπιφανίου ἀνακεφαλαίωσις τῶν αἱρέσεων. 853.

---

* Διατριβὴ περὶ τοῦ χρόνου, καθ' ὃν ἐγεννήθη ὁ Χριστός· λατινιστί. 887.

* Διατριβὴ περὶ τῶν μετανοούντων, ὅπως τὸ πάλαι ἐδέχετο αὐτοὺς ἡ Ἐκκλησία· λατινιστί. 1015.

* Περὶ χωρεπισκόπων· λατινιστί. 1045.

* Περὶ παλαιῶν τινων θεσμῶν τῆς Ἐκκλησίας· λατινιστί. 1071.

* Πίναξ ἀναλυτικὸς εἰς τοὺς δύο τόμους ΜΑ'. ΜΒ'. λατινιστί. 1113.

* Πίναξ τῶν περιεχομένων ἐν τῷ τεσσαρακοστῷ δευτέρῳ τόμῳ· λατινιστί. 1127.

Τέλος τῶν ἐν τῷ τεσσαρακοστῷ δευτέρῳ τόμῳ.

ΤΟΜΟΣ 43

ΠΕΡΙΕΧΟΜΕΝΑ

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἐπιφανίου Ἀγκυρωτός. Περιοχὴ Λόγου (ἤτοι διατί καλεῖται Ἀγκυρωτός). 11.

Περὶ μέτρων καὶ σταθμῶν. 237.

Πρὸς Διόδωρον ἐπίσκοπον Τύρου, περὶ τῶν ΙΒ'. λίθων τῶν ὄντων ἐν τοῖς στολισμοῖς τοῦ Ἀαρὼν, βιβλίον. 293.

* Μετάφρασις παλαιὰ τοῦ βιβλίου περὶ τῶν ΙΒ'. λίθων τοῦ Ἐπιφανίου· λατινιστί. 305.

* Πίναξ κατὰ στοιχεῖον, εἰς τὸ περὶ τῶν ΙΒ'. λίθων· λατινιστί. 365.

Τεμάχιον εἰς τὸ περὶ τῶν ΙΒ'. λίθων βιβλίον· λατινιστί. 371.

